6. ἐπίδειξιν πρώτην]. Ernesti donne la définition suivante du terme ἐπίδειξις: «Proprie ἐπίδειξις dicitur de λόγοις ἐπιδεικτικοῖς, de genere demonstrativo, cujus materies est ἔπαινος et ψόγος.» (*Lexicon technologiae Graecae rhetoricae*). Il ne faudrait cependant pas conclure des paroles de Chorikios que nous ayons ici son début dans le discours d'apparat. En effet, le premier, au moins, des deux éloges qu'il prononça de l'évêque Marcien est forcément antérieur au présent discours, dans lequel il y est fait, sans aucun doute, allusion (voy. § XII, 5, et la note). Cet éloge de Marcien est, à son tour, postérieur à un autre discours qui ne semble pas nous avoir été conservé (voy. p. 80, l. 14 et suiv., Boisson.), ainsi qu'à l'*Oraison funèbre de Procope* (voy. § XI, note 16). Il faut donc entendre seulement ici que Chorikios n'avait encore prononcé l'éloge d'aucun gouverneur civil ou militaire, ἄρχειν λαχόντων. Cette interprétation est d'ailleurs confirmée par la matière de la *dialexis*, νῦν πρῶτον ἀρχικὸν τολμήσασα θέατρον (voy. à la p. 10, ci-contre).

7. Cf. § VI, 3, ὅ γε θυμὸς εἰς ἀβουλίαν ἠρέθισε: *Éloge de Summus*, p. 33, l. 12, Boisson., τοῦτό με μᾶλλον ἐρεθίζει πρὸς ἔπαινον: *Oraison funèbre de Procope*, p. 7, l. 5, πρὸς ἔρωτα δεινὸν ἐρεθίσαι.

καὶ στεῖραν ἐκάλουν φορᾶς ἀνδρῶν ἀγαθῶν, ὑπορρεούσης ἀεὶ κατ' ὀλίγον τῆς ἀρετῆς· ἀλλὰ νῦν εὖ ποιοῦσα διὰ μιᾶς ἀνδρῶν ξυνωρίδος[8] *ἀπολογεῖται τῷ παρόντι καιρῷ καὶ δίδωσιν αὐτῷ δι' ὑμῶν πρὸς τὸν φθάσαντα χρόνον παρρησιάζεσθαι.* [3] *Οὐ γὰρ ἐκ πατρίδος εὐδοκιμοῦντες*[9] *πονηρίᾳ καταδύεσθε* [10] *γένους, οὐδὲ γονέων* [11] *ἐπιεικείᾳ κοσμούμενοι ἀδελφῶν ἐρυθριᾶτε φαυλότητι, οὐδ' ἐπὶ τούτοις μέγα φρονοῦντες ἀπορεῖτε τῆς οἴκοθεν εὐφημίας*[12]. [4] *Πολλοὶ μὲν οὖν ἑτέροις ἐγκωμιάζοντες, ἀγαθῶν πράξεων ἐνδεεῖς* [13], *ἐπὶ πατέρας ὁμοῦ καὶ μητέρας καὶ πάππους ἐνίοτε καὶ τήθας ἀναβαίνοντες,* [fol. 28] *ἐξ ἑκάστου τι μέρος ἐρανισάμενοι, καλλωπίσμασι τούτων ἔρχονται τὸν εἰς ἐκείνους συρράψαντες ἔπαινον· ὑμῖν δὲ τοσοῦτον πλεονεκτημάτων* [14] *περίεστιν, ὥστ', εἴ τις ἑτέροις ἄρχουσιν ἔργων*[15] *χρηστῶν δεομένοις ἄλλοις ἄλλα διανέμοι*[16] *τῶν ὑμετέρων, ἑκάστῳ διδοὺς τὰ πρὸς εὐφημίαν ἀρκέσοντα παντελῆ, περιλειφθῆναι πράξεις ὑμῖν εἰς ὅλον λόγον ἀρκούσας*[17]. [5] *Καὶ πρόδηλον μὲν ὡς οἱ πανταχοῦ γῆς ἡγεμόνες, ὅσοις ἐπιμελῶς νέμεται τὸ ὑπήκοον, πάντες . . . . ἐστὶν* [18] *ὁ βασιλεύς· ἐναργεστάτη δὲ τῆς ἐκείνου διανοίας εἰκὼν ἐν ὑμῖν*

---

8. *συνωρίδος* Ms. Mais cf. p. 98, l. 7 d'en bas, Boisson., *ληστρικῆς μεταξὺ ξυνωρίδος*: p. 29, l. 5 d'en bas, *δυοῖν ἀνδρῶν ξυνωρίς*: p. 40, l. 12, *ἡ δὲ λοιπὴ ξυνωρίς*.

9. *εὐδοκι.οῦντες* Ms. (mangeure de ver).

10. *καταδύσθε* Ms.

11. *γ.. εων* Ms. (mangeure de ver).

12. *τῆς οἴκοθεν εὐφημίας*, de gloire personnelle.

13. Cf. p. 111, l. 5, Boisson., *ἄνευ πράξεων ἀγαθῶν*.

14. Cf. § XII, 3, *τί γὰρ τῶν σῶν ἐκεῖνος πλεονεκτημάτων ἠγνόησεν*: *Éloge de Marcien*, I, p. 80, l. 15, Boisson., *πρῴην ἐγὼ βραχέα περὶ τῶν σῶν πλεονεκτημάτων διαλεχθείς*: et p. 82, l. 3, *μέγα φρονεῖν αὐτῷ παρεχούσης τοσαύτης πλεονεκτημάτων φορᾶς*: *Éloge de Marcien*, II, p. 107, l. 8 d'en bas, *μέλλων οὖν ἤδη τοῦ καταλόγου τῶν σῶν πλεονεκτημάτων ἀπάρχεσθαι*: et p. 110, l. 6, *ἡ γὰρ πρὸς τὸ χεῖρον παράθεσις ὀλίγοις ἀρέσκεται πλεονεκτήμασιν*: *Éloge de Summus*, p. 26, l. 4 d'en bas, *μηδὲ τὰ τῆς παρούσης (ἡλικίας) πλεονεκτήματα χωροῦντος τοῦ λόγου*: et p. 35, l. 7, *τὰ τοῦ στρατηγοῦντος.... πλεονεκτήματα*: *Oraison funèbre de Marie*, p. 38, l. 3 d'en bas, *ἕκαστον μὲν οὖν αὐτῆς πλεονέκτημα*.

15. Cf. *Éloge de Marcien*, II, p. 125, Boisson., *ἐνταῦθα πέρας τῷ λόγῳ σὺ μὲν οὐ δίδως, ἔργων ἀφθονίᾳ πλουτῶν, ὁ δὲ καιρὸς ἐπιφέρει, πανήγυρις ὤν*.

16. *διανέμει* Ms. Cf. § XIV, 13, *εἰ δέ τις καὶ πρὸς ἔργον ἄγοι τὴν γνώμην, οὗτος ἐκεῖνός ἐστιν κτλ.* Au surplus, on avoue ne pas connaître suffisamment la syntaxe de Chorikios pour restituer avec assurance le mode et le temps employés par cet auteur dans cette phrase, ainsi que dans plusieurs autres semblables. (Voy., p. ex., § V, note 14.)

17. Cf. *Éloge de Marcien*, I, p. 80, l. 3, Boisson., *ἔδει κοινῇ συνελθόντας, ὅσοι τῇδε παιδεύειν ἐπιχειροῦμεν, διανείμασθαι τὰ σὰ πρὸς ἀλλήλους, καί, λαβόντα τὸ μέρος, ἕκαστον ὅλον αὐτὸν εἰς τοῦτο κενῶσαι. Καὶ μόλις ἂν οὕτως ἠρκέσαμεν μίαν σοι πάντες εὐφημίαν συνθεῖναι.*

18. *πάντες ἐστὶν* (sans trace de lacune) Ms.

θεωρεῖται. [6] *Ἀλλ' ἕνεκά γε τοῦ τὰ σκῆπτρα λαχόντος ἐχρῆν τινα ἐπαινέτην, Ἑρμοῦ Λογίου τ‸πον*(19), *εἰς ἀνθρώπους ἐλθεῖν, ἐγὼ δὲ βραχέα τῶν ὑμετέρων ἔρχομαι φράσων.*

§ II. *Μέλλων δὲ ἤδη πρὸς τοῦτο βαδίζειν τὸ μέρος, τὰ τῆς ἀρχῆς ὑφηγήσομαι σύμβολα καὶ τὸν ὅλον αὐτῆς ἀποδώσω σκοπόν, τί ποτε βουλομένη παρῆλθεν εἰς βίον, ἐκ ποίων ἀρετῶν ἀξία*(1) *δεσπόζειν ἑτέρων, ποῖον λήψομαι*(2) *κέρδος ὑποκύπτων αὐτῇ*(3)· *ταῦτα διὰ βραχέων ἐθέλω δηλῶσαι καὶ δεῖξαι διὰ πάντων ὑμᾶς ἥκοντας τῶν γνωρισμάτων*(4). [2] *Ἔστι τοίνυν ἡγεμονία σαφὴς*(5) *ἥμερον ἦθος καὶ λογισμοῦ θυμὸς ὑπηρέτης καὶ τὸ χρημάτων ὑπερορᾶν εἰς κάλλος τε ζῆν*(6) *καὶ τὸν ἐν τάξει βίον ἐπιτηδεύειν.* [3] *Φύσει μὲν οὖν ἀλλήλοις πρᾳότης τε καὶ θυμὸς δοκεῖ διαμάχεσθαι*(7), *ὥστε καὶ Σωκράτης ἀπορήσας που*(8) *φαίνεται, πόθεν*

---

19. Cf. *Oraison funèbre de Procope*, p. 22-23, Boisson., *Δημοσθένης...*, *ὃν Ἑρμοῦ Λογίου παράδειγμα τῶν σοφῶν τις καλεῖ*, où l'éditeur cite en note Aristide, discours XLVI, p. 398: *περὶ Δημοσθένους ὃν ἐγὼ φαίην ἂν Ἑρμοῦ τινος Λογίου τύπον εἰς ἀνθρώπους κατελθεῖν*. Le même, p. 22, dans la note: «Synesius inter notas Possini ad Pachymerem, t. I, p. 640: . . . . »*ὃν ἂν ἰδὼν Δημοσθένης μεθ' ἡμῶν εἶπεν Ἑρμοῦ Λογίου τύπον εἰς ἀνθρώ*»*πους ἥκειν*. Thomas Magister, *Epist.*, I, § 1: . . . . *Ἑρμοῦ Λογίου τύπος*, »*ὡς εἰπεῖν, καὶ ὢν καὶ καλούμενος*. Quem vide et § 6, cum nota Normanni. »Eunapius *de Prohaeresio*, p. 84: *οἱ δὲ θεὸν ἔφασαν, οἱ δὲ Ἑρμοῦ Λογίου* »*τύπον*. Ubi plurima apposui.»

§ II.] 1. *ἀρ. :ῶν ἄξιοι* Ms. (mangeure de ver).

2. *λήψομ..* Ms.

3. Cf. § V, 3, *τῇ φήμῃ τοῦ στρατηγοῦ τὸ δυσμενὲς ὑποκύπτει*: *Éthopée d'Aphrodite*, p. 144, l. 14, Boisson., *ὑπέκυψα τῇ γονῇ*: et l. 3, où Boissonade a restitué avec raison *οὐδὲν οὐ τῇ ἐμῇ ὑπέκυπτε δεξιᾷ*.

4. Cf. *Éloge de Summus*, p. 26, l. 4, Boisson., *ἔνιά σου τῶν γνωρισμάτων ὑποτάξας τῷ μέτρῳ*: p. 32, l. 2, (*νέον*) *ᾧ γνώρισμα μέγιστον ὁ πατήρ*: et p. 34, l. 2, *τί δ' ἄν τις οὐ θαυμάσειέ σου τῶν γνωρισμάτων*: *La Rose*, p. 131, l. 1, *ταύτης δὲ* (c.-à-d. *τῆς Ἀφροδίτης Πανδήμου*) *γνώρισμα γάμοι*.

5. Cf. § XV, 2, *φιλίαν ἄδολον καὶ σαφῆ*: § XIV, 4, *τὸ κατασκόπους ἐκπέμψαι μαρτυρία σαφὴς τοῦ τεταράχθαι*: *Éloge de Summus*, p. 28, l. 3 d'en bas., Boisson., *προῆλθε ταῖς πόλεσιν ἐλευθερία σαφὴς ἐξ ἀφορήτου δουλείας*.

6. Cf. *Oraison funèbre de Procope*, p. 9, l. 7, Boisson., *φράζω τὸ δέον εἰς κάλλος*. — On peut comparer aussi l'expression *εἰς κάλλος γράφειν*. Outre les exemples consignés au *Thesaurus*, s. v. *κάλλος*, nous citerons les suivants: Lucien, *Contre l'ignorant*, § 2 (III, p. 100, Reitz), *ὅσα ὁ Καλλῖνος ἐς κάλλος ἢ ὁ ἀοίδιμος Ἀττικὸς σὺν ἐπιμελείᾳ τῇ πάσῃ γράψαιεν*: *Novelle* 42, chap. I, § 2, *γραφέσθω δὲ παρὰ μηδενὸς τὸ λοιπόν, μηδὲ τῶν εἰς κάλλος, μηδὲ τῶν εἰς τάχος γραφόντων*: Théophylacte Simocatta, VIII, 13 (p. 341, l. 20, Bekker), *ἐδέησε γὰρ ἄνδρα τινὰ τῶν ἐς κάλλος γραφόντων*: Photios, *Bibliothèque*, 121 (p. 94 *a*, l. 38, Bekker), *ἑπτὰ ταχυγράφους καὶ ἑτέρους τοσούτους γράφοντας εἰς κάλλος*. — Comp. une construction analogue, *Éloge de Marcien*, II, p. 109, l. 9, Boisson., *ψυχὴν ῥᾳδίως τε δεχομένην καὶ βεβαίως φυλάττουσαν τοὺς καρποὺς εἰς πλῆθος ἅμα καὶ τάχος*.

7. Ici, à la marge du Ms., *σημείωσαι ὡραῖον*.

8. Entre *που* et *φαίνεται*, il y dans le Ms. *δια*, encadré de points qui sont de première main: c'est un commencement de digraphie de *διαμάχεσθαι*

ἅμα πρᾶον καί μεγαλόψυχον ἦθος εὑρήσει, χαλεποῦ πεφυκότος εἰς ἓν ἑκάτερον συνελθεῖν· παρ' ὑμῖν δὲ λύει τὴν ἔριν ἄμφω καὶ διαλλάττεται (9). [4] *Τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ λαμπραὶ καὶ κοιναὶ κατὰ τὸν παλαιὸν λόγον ἀμφοῖν, εἴ γε κοινὰ τὰ τῶν φίλων* (10) *φασίν.*

§ III. *Ἐγένετο πρῴην φορὰ δυσσεβῶν, τοὺς Καισαρέων περιοίκους ληϊζομένη καὶ μαχομένη πρὸς δόγμα θεοφιλὲς ἐκ δυοῖν βασιλέων, τοῦ μὲν ἐν οὐρανῷ προελθὸν, τοῦ δὲ κατὰ γῆν ὁρισθέν* (1). [2] *Φυομένης τοίνυν τῆς ἐναγοῦς ἐκείνης καὶ περιβοήτου συστάσεως, ἔμελε μὲν ὅπως σωφρονισθείη τῷ κορυφαίῳ τῶν ἱερέων* (2), *ἦν δὲ τοῖς πρότερον ἡγεμόσιν* (3) *ἐπιμελὲς, οὐκ ἠμελεῖτο* (4) *δὲ οὐδὲ τῷ τῶν φυλῶν ἀρχηγέτῃ* (5). [3] *Καὶ δὴ* (6) *πόλεμος ἦν πρᾶγμα βασιλεῖ μὲν οὐκ ἀρεστόν — ἐπὶ γὰρ ὑπηκόους συνεκροτεῖτο —, τὴν δὲ τῶν ἀνοσίων ἑταιρείαν εὔφραινον, οὐχ ὅτι νίκης ἐλπίδα παρεῖχεν — ἐνήφον γὰρ, οἶμαι, τοσοῦτον ὅσον μὴ προσδοκῆσαι νικᾶν —, σεμνολογεῖσθαι δὲ προξενοῦν τοῖς* [fol. 29] *ἀλαζόσι.* [4] *Τοιαύταις* ..... *ἐδεήθη* (7) *βασιλεὺς εἰς ἅλωσιν ἡμετέραν πολέμου, καὶ τῶν ἄλλων ψιλαῖς ἐντολαῖς πειθομένων ἡμῶν γ' ἕνεκεν ὅπλα κινεῖται.* [5]

(voy. six mots plus haut), corrigée sur-le-champ par le copiste lui-même. — Le passage auquel il est fait ici allusion se trouve chez Platon, *République*, II, p. 375 C, *πόθεν ἅμα πρᾶον καὶ μεγαλόθυμον ἦθος εὑρήσομεν; ἐναντία γάρ που θυμοειδεῖ πραεῖα φύσις.*

9. Cf. *Mimes* (discours inédit), fol. 158, *ἑκατέραν γὰρ ἄμφω* (c.-à.-d. *τοὺς μαγείρους καὶ τοὺς μίμους*) *ποιεῖν ἡ τέχνη παρακελεύεται.*

10. Euripide, *Oreste*, 735, *κοινὰ γὰρ τὰ τῶν φίλων.* Cf. Térence, *Adelphes*, V, 3, 17, *nam vetus quidem hoc verbum, amicorum inter se communia esse omnia*, et Suidas, s. v., *κοινὰ τὰ τῶν φίλων· ... κέχρηται τῇ παροιμίᾳ Μένανδρος Ἀδελφοῖς.* Cf. encore Zénobios, IV, 79.

§ III.] 1. La sédition à laquelle il est fait allusion dans ce passage paraît être un reste et comme un épisode attardé de la grande révolte des Samaritains, étouffée, dans son ensemble, en l'an 529, par les généraux Théodore et Jean. *Οἱ κατὰ Παλαιστίνην Σαμαρεῖται, τὸ ἔθνος ἅπαν, κατὰ τῶν Χριστιανῶν στρατεύσαντες, πολλὰ ἀθέμιτα διεπράξαντο κτλ.* (Cyrille de Scythopolis, *Vie de St Sabas*, § 70, dans les *Ecclesiae Graecae monumenta* de Cotelier, t. III, p. 220 et suiv. — Voy. l'indication des autres sources chez Ed. de Muralt, *Chronographie byzantine*).

2. Il parle sans doute du patriarche de Jérusalem. Cf. plus bas, § XII, 1, *ἁπάντων ἱερέων ὁ κράτιστος.*

3. = *Ducibus Palaestinae qui fuerant ante Aratium.*

4. *οὐκ.* ‖ *μελεῖτο* Ms. Cf. *Mimes* (discours inédit), fol. 157 (en tête), *οὔποτ' ἂν νομοθέταις ἠμελήθη Ῥωμαίων.*

5. *ὁ τ. φ. ἀρχηγέτης*, le gouverneur civil de la province. Cf. *Novelle* 30, chap. 5, *καλείσθω τε ὁ ταύτης ἡγούμενος τῇ πατρίῳ φωνῇ* Procos. Justinianeus Cappadociae, *ὥστε καὶ τὸ τῆς ἀρχῆς ἔχειν ἴδιον καὶ τὸν ἀρχηγέτην συνονομάζειν τῷ πράγματι.*

6. *καὶ .ἡ* Ms. (mangeure de ver).

7. *Τοιαύταις ἐδεήθη* (sans trace de lacune) Ms.

Πῶς οὖν τοὺς οὕτω τετυφωμένους ἐπαίδευσας τὰ τῶν ἀρχομένων φρονεῖν; Ἤδεις ὡς φάλαγγες ὁπλιτῶν καὶ ψιλὸς ὅμιλος ἱππέων τε τάγμα καὶ βία χειρῶν(8) *καὶ ὅλως ἡ*(9) *τοῦ πολέμου φύσις σωμάτων μὲν ἴσως, γνώμης δὲ κρατεῖν οὐ φιλεῖ, μᾶλλον δὲ φιλονεικοτέραν ποιεῖ πρὸς τὸ δοκοῦν ἀσύμφορον ἄγουσα.* [6] *Καὶ ἅμα τὸ δοκεῖν ἐξ ἴσου τοῖς ὅπλοις ἀγωνίζεσθαι παρρησίαν αὐτοῖς εἰς ἀπόνοιαν ἐδωρεῖτο.* [7] *Οὕτω ποτὲ καὶ Σκυθῶν*(10) *οἱ νομάδες, ἐπαναστάντων αὐτοῖς τῶν οἰκετῶν, μέχρι μὲν ἐν ὅπλοις ὁ πόλεμος ἦν, ἐρίζοντας εἶχον· τὸ γὰρ ἴσον τοῦ σχήματος ἐποίησε τοὺς θεράποντας ἐπιλαθέσθαι τῆς τύχης· ἀναλαβόντες δὲ μάστιγας, τοῦτό τινος ὑποθεμένου, ταχέως αὐτοὺς τῆς δουλείας ἀνέμνησαν, δεσπόται φανέντες.* [8] *Ὦ μεγάλης μὲν τῆς βασιλέως φιλανθρωπίας, μεγάλης δὲ τῆς σῆς πρὸς τοῦτο διακονίας.* [9] *Ἔδει*(11) *γὰρ τὸν μὲν νομοθετῆσαι τῆς ἀσεβείας τὴν*(12) *ἴασιν, σὲ δ' ἤπια φάρμακα πάσσειν*(13). [10] *Καθάπερ οὖν τῶν Ἀσκληπιαδῶν οἱ τεχνῖται φοιτῶσι πολλάκις παρὰ τὸν κάμνοντα, τὰ μὲν ἡδέα καὶ προσηνῆ, τὰ δὲ πικρότερα φέροντες, ἵνα διαμαρτόντες, ἂν οὕτω τύχῃ, τῶν πρᾳοτέρων τοῖς ὀδυνηροῖς ἀποχρήσωνται, μὴ βουλόμενοι μὲν εἰς τοῦτο χρείας ἐλθεῖν, τῇ δὲ βίᾳ τῆς νόσου νενικημένοι· οὕτω διπλῇ παρασκευῇ πεφραγμένος, ἡμέροις τε λόγοις καὶ πλήθει συντεταγμένῳ, πλησίον που τὴν ἔνοπλον δύναμιν παραστήσας, τοῦ μὴ θόρυβον αὐτοῖς ἐμβαλεῖν ἴσως ἄνευ*(14) *πολέμου πρὸς τὸ λυσιτελοῦν ⟨ἂν⟩ ἀγομένοις, ἐχώρεις τῆς ἀσφαλείας ἐνέχυρον ἔχων τὸ πολλάκι τοι*(15) *μῦθος εἰς καιρὸν εἰρη-*

---

8. *τάγμα καὶ τάγμα* (*βία* au-dessus) *χειρῶν* Ms.

9. *ἡ τοῦ πολέμου* — *ἀσύμφορον ἄγουσα*, fragment *η'* chez Boissonade, p. 283, avec cette note: « Fragmenta *η'* — *ιδ'* excerpsit Macarius Chrysocephalas Roseto apud Villoison. Diatr. p. 20, ex Choricii in Aratium oratione. »

10. *Σκυθῶν οἱ νομάδες, ἐπαναστάντων αὐτοῖς ποτε τῶν οἰκ.* — *δεσπόται φανέντες*, fragment *θ'* chez Boissonade, p. 283. — Cette anecdote est empruntée à Hérodote, IV, 34.

11. *.δει* Ms (mangeure de ver).

12. *τ̀..* Ms. (mangeure de ver).

13. *Iliade*, XI, 830, *ἐπὶ δ' ἤπια φάρμακα πάσσε*. C'est une des citations favorites de Chorikios (voy., p. ex., *Éloge de Marcien*, I, p. 94, l. 9, Boisson.).

14. *ἄνευ*] *ἂν ἐν* Ms. [Peut-être *ἴσως* ⟨*ἂν*⟩ *ἄνευ*. — Réd. de la *Revue*.]

15. On reconnaît dans les mots *πολλάκι τοι μῦθος κτλ.* une citation de poëte, mais que l'orateur ne semble pas avoir rapportée textuellement. Weil a arrangé ce fragment en choliambes:

- - - πολλά τἂν μῦθος
εἰς καιρὸν ἐλθὼν ῥαδίως κατορθοίη
ὅπερ βιαίως <οὐκ ἔπραξεν> ἡ ῥώμη. —

Πολλάκις καὶ λόγος εἰς καιρὸν εἰρ. κ. τ. ῥ. ὅ. β. ἡ ῥώμη, fragment *ι'* chez Boissonade, p. 283.

μένος κατορθοῖ τι ῥᾳδίως, ὅπερ βιαίως ἡ ῥώμη. [11] *Τί οὖν; ἐκεῖνοι ἄνθρωποι*(16), *στρατόπεδον ὅλον, πάντες ἀπονενοημένοι*(17), *πάντες ἐξωπλισμένοι — αὐτὸς*(18) *δὲ, κατὰ τὴν ποίησιν*(19), *ἐφέλκεται ἄνδρα σίδηρος — ἁπλῇ παραινέσει τὸ δέον ἐφρόνησαν.* [12] *Οὐκοῦν δυνάμει μὲν τὴν δίκην λαβὼν, καλοκἀγαθίᾳ δὲ τρόπων τὴν ὀργὴν ἐκχαλάσας, διχόθεν αὐτοὺς παρεσκεύασας*(20) *σωφρονεῖν, τὴν μὲν ἀνδρείαν ὑφορωμένους, ὑπὲρ δὲ τῆς πρᾳότητος εὐνοοῦντας· ἔξωθεν μὲν οὖν οὑτωσὶ*(21) *τὰ πεπραγμένα τις θεωρῶν δόξειεν ἂν ἡμερότητα μόνον ἐπανθεῖν τοῖς εἰργασμένοις, ἐμβλέψας δὲ τῷ βάθει τῆς διανοίας καὶ τὸ τῆς ἀνδρείας ὄψεται μέγεθος.* [13] *Ὁ μὲν γὰρ ὑπὲρ τὴν ἀξίαν ἐκ τοῦ παραλόγου τι κατορθῶν, ἀσθενέστερος ὢν ἢ προσδοκῆσαι* (22) *νίκην δευτέραν, μέχρι καὶ ἐς ὄλεθρον ἀμύνεται τοὺς* [fol. 30] *λυπήσαντας, κἂν τύχωσιν ὄντες τῆς ἐσχάτης ἀνάξιοι δίκης· ὁ δὲ συνειδὼς ἑαυτῷ τὴν, ὅτε βούλεται, χειρώσασθαι τοὺς ἐχθροὺς ἐξουσίαν, ὁ τοιοῦτος οὐκ ἀξιοῖ τῷ θυμῷ τὸ πᾶν ἐπιτρέπειν, ἄλλως τε*(23) *μηδὲ πρὸς ἀλλοφύλους γενησομένῳ.*

§ IV. *Τοιγαροῦν τοὺς βαρβάρους ὁ πολὺς*(1) *ἡμῖν στρατηγὸς πικροτέρῳ δικαίως ἐπῆλθε σωφρονισμῷ*(2). [2] *Φρούριον ἦν χρυσοῦ μέταλλα πρόσοδον φέρον*(3), *πανταχόθεν πολιορκεῖν ἀπορώτερον ἢ τὸ τῶν Σάρδεων τεῖχος Ἁλικαρνασσέως τινὸς μῦθοί φασι* (4)· *τὸ μὲν γὰρ πλάσμα συγγραφικὸν εἰργάσατο δυσπολέμητον — γυνὴ, φησὶν, ἔτεκε λέοντα, καὶ περιενεχθέντος τοῦ θηρίου ἔδει τὸ τεῖχος ἀνάλωτον*(5) *εἶναι —, τὸ δὲ δημιούργημα τέχνης ἐστὶν, οὐ*

---

16. *ἐκεῖνοι ἄνθρωποι* Ms. Pour éviter l'hiatus, on pourrait écrire *ἄνθρωποι 'κεῖνοι* ou conjecturer *ἐκεῖνοί γ' ἄνθρωποι.*
17. *ἀπεννοημένοι* Ms.
18. *Odyssée*, XVI, 294, *αὐτὸς γὰρ ἐφέλκεται ἄνδρα σίδηρος.*
19. Cf. plus bas, § V, note 7.
20. *παρασκευάσας* Ms.
21. $\overset{\text{σί}}{\text{ι.ι ω}}$ Ms. (mangeure de ver).
22. Voy. Krüger, *Grammaire grecque*, § 49, 4.
23. *ἄλλως τε*, comme au § XV, 2. Au surplus, voy. Hermann sur Viger, *De praecipuis Graecae dictionis idiotismis*, p. 778 (4e édit.).

§ IV.] 1. Cf. *Éloge de Summus*, p. 27, l. 5 d'en bas, Boisson., *ὁ δὲ πάντα πολὺς οὑτοσί.*
2. Cf. § VI, note 5.
3. Lire *μετάλλου πρόσοδον ἀφαιρούμενον*? ou peut-être *ἀφαιροῦν* avec le sens de « dérobant, ôtant (aux nôtres), fermant l'*accès* d'une mine. » Au point de vue paléographique, *ἀφαιρούμενον* (qui s'écrivait *ἀφαιρούμ*) = *ἀφαιροῦν* (qui s'écrivait *ἀφαιροῦμ*); et *φαιροῦν*, ou *φαιρούμ*, devait presque inévitablement produire *φέρον.*
4. Hérodote, I, 84.
5. *τὸ τεῖχος ἔδει τὸ τεῖχος ἀνάλωτον* Ms. (le premier *τὸ τεῖχος* est de seconde encre).

μυθολόγημα συγγραφῆς. [3] *Οὕτω τοίνυν ἀποτόμου πρὸς ἅλωσιν ὄντος, ὀλίγον ἔμελε τοῖς ἐνοικοῦσι πολιορκίας, ἀφθόνου τροφῆς αὐτοῖς κεχυμένης καὶ πηγῆς ἔνδον ὑδάτων συντελούσης περιουσίαν, ὥστε τοῖς μὲν ὑπῆρχε κατὰ*(6) *πολλὴν ἐξουσίαν τρυφᾶν, τοῖς δὲ περιβαλλομένοις*(7) *τὸ φρούριον ἀνόνητα πιέζεσθαι καὶ πονεῖν τῷ μήκει*(8) *τῆς προσεδρείας.* [4] *Τοιαύτας εἶχόν σοι τὰς φροντίδας αἱ νύκτες, τοιοῦτοί σοι μεθ' ἡμέραν ἔστρεφον τὴν ψυχὴν λογισμοί.* [5] *Καί ποτε κύκλῳ περισκοπῶν τὸ χωρίον, κατανοήσας τὸν ἔξω φέροντα πόρον τῶν ἔνδον ὑδάτων τὸ περιττὸν καὶ τῷ προσώπῳ μηνύσας ὡς ἐξεύρηταί σοι τὸ πάλαι ποθούμενον καὶ παραδοὺς ὥσπερ ἄλλο τι μάθημα τῇ διανοίᾳ, νύκτα φυλάξας — οὐ γὰρ ἦν ὑφ' ἡλίῳ τὸ βούλευμα*(9) *προελθεῖν — καὶ τῆς νυκτὸς ὕπνου τοῦ πρώτου καιρὸν, ὅθ' ἡ*(10) *μεγίστη τῶν αἰσθήσεων ἡσυχία δοκεῖ, τότε τοῖς ὕδασιν ἐπιτρέψας τὸ σῶμα, οὐδὲ συστρατιώτας ὅτι μὴ δύο λαβὼν, καθεύδοντι τῷ φύλακι τῶν πυλῶν ἐπιστὰς, τὸν μὲν ὀξέως ἀνεῖλες, ὅπως μὴ λάθοι τοῦ τολμήματος μηνυτὴς γεγονὼς, ὀλολυζούσης δέ οἱ*(11) *τῆς γυναικὸς οἰμωγῇ τε χρωμένης καὶ κηρυττούσης τὸ γεγονὸς, σὺ μὲν εἱστήκεις οὐδὲν ὑφορώμενος ὡς ἐπαμῦναί σοι καλουμένων οὓς ἐπὶ σὲ βοῶσα συνῆγε· τῶν δὲ πολεμίων οἱ μὲν ὥσπερ ἐν ὀνείρατι βοῆς γινομένης ἐπὶ τῆς εὐνῆς ἐταράττοντο, τοὺς δὲ, οἷον εἰκὸς ἄρτι γευσαμένους ὕπνου καὶ πολεμίας ἐπιβουλῆς ἀπροσδοκήτου*(12) *συμβάσης, οὐ μέτριον ἔλαβε δέος, καὶ δᾷδας*(13) *αὐτοῖς*(14) *ἐπιφέροντες*(15) *ἐλάνθανον ὑμῖν*(16) *χορηγοῦντες τὸ φῶς, ὅθεν ὁ δεύτερος ἀεὶ προσιὼν ἀγνοίᾳ τοῦ πρώτου προσέπιπτέ σου*(17) *τῷ ξίφει· καὶ συχνῶν ἤδη σοι τῶν οἰκείων εἰσχεομένων τὰς πύλας ἀναπε-*

---

6. ...*τ* (with *α* above) Ms. (mangeure de ver).
7. *περιβ . . . ομένοις* Ms. (mangeure de ver).
8. *μ.κει* Ms. (mangeure de ver).
9. *βούλημα* Ms.
10. *ὅθ' ἡ*] *ὅση* Ms.
11. *δὲ οἱ* (à ce qu'il semble) Ms. [Ces deux lettres peuvent n'avoir été, dans un des manuscrits précédents, que le commencement d'*οἰμωγῇ*, écrit par anticipation. — Réd.]
12. *ἀπροσδο . . του* Ms. (mangeure de ver).
13. *δέος . . . . ᾷδας* (ou *ᾄδας*?) Ms. (mangeure de ver).
14. *αὐτοῖς* Ms.
15. *ἐπιφέροντες*] Cf. § VII, 2.
16. Boissonade, page 29, note 1: «Frequens pronomen *ὑμέτερος* pluralis »significationis pro *σός* in recentioribus auctoribus, et *ὑμεῖς* pro *σύ*. Monui »ad Simocattae epistolas, p. 364, memor loci Choriciani» (p. 29, l. 5, *τοῖς ὑμετέροις ἴχνεσιν*, en parlant au seul Summus) «et aliorum. Sic statim »ὑμᾶς pro *σέ*» (p. 29, l. 17). Cf. encore p. 29, l. 14: p. 33, l. 5 d'en bas: p. 81, l. 3: p. 110, l. 16: p. 111, l. 6: p. 252, l. 8.
17. *σοι* Ms.

τάσαντι, τότε πρῶτον ἠλέγχθη τὸ φρού-[fol. 31]*ριον οὐ πᾶσιν ἄμαχον πεφυκός.* [6] *Ἓν δ' ἄρα κέρδος προσεγένετο τοῖς πολεμίοις ὅτι τῇ πείρᾳ μετέμαθον ὡς οὐδέν*(18) *ἐστιν ἀνάλωτον ἀρετῇ*(19). [7] *Ἐνταῦθα δὴ διὰ πάντων ἐχώρει τὰ ξίφη, καὶ τῶν πολεμίων οἱ μὲν πρὸ τῶν ἄλλων πεσόντες αὐτῷ τῷ πρῶτοι*(20) *παθεῖν τὴν ἀξίαν δίκην ὑπεῖχον, οἱ δὲ τὸν χρόνον κερδᾶναι δοκοῦντες ὅσος ἐδαπανᾶτο ταῖς προτέραις σφαγαῖς τῇ θέᾳ τῶν συμφορῶν ἐκολάζοντο, ὥστε τὸν ἴσον ἅπαντας ὑποστῆναι σωφρονισμόν* (21). [8] *Εἰ μὲν οὖν μὴ πολλοὶ πρότερον καὶ δεινοὶ τὰ πολέμια στρατηγοὶ πειράσαντες τοῦ χωρίου πολλάκις ἔγνωσαν ἀδυνάτων ἐρῶντες* (22), *ἴσως ἂν εἶχεν ὁ φθόνος ἀσθένειαν αἰτιάσασθαι τοῦ φρουρίου καὶ ταύτῃ βραχύ σου τῆς εὐδοξίας ἀποσυλῆσαι· νῦν δέ, πολλῶν μὲν ἐγχειρησάντων, οὐδενὸς δὲ δεδρακότος οὐδέν, οἱ πρὸ τῆς σῆς ἀριστείας ἀποτυχόντες μάρτυρες γίνονται τοῦ μεγέθους τῆς νίκης.* [9] *Στρατήγημα φοβερὸν καὶ πρὶν γενέσθαι μὴ πιστευόμενον· εἰσῆλθέ σε πρᾶγμα τοσοῦτον, εἰσελθὸν ἐτολμήθη, τολμηθὲν οὐ διήμαρτεν.* [10] *Ἐνταῦθα λοιπὸν*(23) *ἀναγκάζομαι καὶ νόμον τινὰ παραβῆναι τῆς τέχνης*(24)· *ἐκείνη*(25) *κελεύει* (26) *τὸν ἐπαινέτην ὃν εὐφημεῖ παραβάλλειν ὁμοίοις ἀνδράσι*(27) *πάλαι γεγενημένοις· ἡμεῖς δὲ πολλοὺς μὲν ἠκούσαμέν τε πολέμους καὶ μεμαθήκαμεν*(28)· *οὐ μὴν ἴσμεν τοιοῦτον πώποτε τρόπον νίκης*(29) *παρειληφότες* (30)·

---

18. *οὐδέν ἐστιν ἀνάλωτον ἀρετῇ*, fragment *ια'* chez Boissonade, p. 283.
19. Cf. *Éloge de Summus*, p. 29-30, Boisson., *ἔδειξεν ἡ πεῖρα σαφῶς ὡς οὐδὲν ἄπρακτον ὅπου ἂν τύχῃ Σοῦμμος παρών.*
20. $\overset{\text{οι}}{\text{πρώτ}}$ Ms.
21. Cf. § VI, note 5.
22. Cf. Euripide, *Hercule furieux*, 318, *ἀδυνάτων ἔοιχ' ἐρᾶν*: Lucien, *Dialogues des Dieux*, VIII (à la fin), *πλὴν οἶδα ὅτι ἀδυνάτων ἐρᾷς*. Cf. aussi le proverbe *Ἀδύνατα θηρᾷς· ἐπὶ τοῦ ἐγχειροῦντος μείζοσιν ἢ καθ' ἑαυτόν*, Zénobios, dans le vol. I des *Parœmiographes grecs* de Leutsch et Schneidewin, et la note des éditeurs; puis Macarios, 1, 26, dans le vol. II, et la note.
23. *λοι . . . ἀναγκάζομαι* Ms. (mangeure de ver).
24. Cf. *Éloge de Marcien*, II, p. 125, l. 5, Boisson., *ὑπόλοιπόν ἐστί μοι πρὸς τοὺς πάλαι τεμένη δημιουργήσαντας τὸν ἱερέα παραβαλεῖν . . . . νομοθετούσης οὕτω τῆς τέχνης.* Chorikios rappelle volontiers dans ses discours les préceptes de la rhétorique. Cf. encore *Oraison funèbre de Marie*, p. 39, l. 3 d'en bas, *εἰ τῶν παίδων ἐγκώμιον ἔγραφον, ἔδει κατὰ νόμον ῥητορικὸν ἐκ τῶν γονέων αὐτοὺς ὡραΐσαι.*
25. *ἐ*..*΄νη* Ms. (mangeure de ver).
26. Cf. § X, 8, *ἡ τέχνη κελεύει κτλ.*
27. *ἀνδράσιν* Ms.
28. *μεμσθήκαμεν* (*sic*) Ms.
29. *νίκη* Ms.
30. Bélisaire se servit, peu de temps après (en 536), du même procédé pour prendre Naples. (Procope, *Guerre Gothique*, I, 10.) Ed. de Muralt, *Essai de chronographie byzantine*: «An 536. Naples. Après vingt jours de

ὅθεν ἐπ' ἄλλο τι τῶν σῶν μεταβήσομαι, τῆς πρὸς τοῦτό μοι παραθέσεως(31) ἀπόρως ἐχούσης.

§ V. *Πορείαν οὖν ἄβατον οὐ τῷ(1) πλήθει τῆς ὕλης κατὰ τὴν ἐξ Ὀδρυσῶν(2) ἐπὶ Παίονας ὁδόν, ἣν ὡμάλισεν ὁ Σιτάλκης, δασείας δ' ὕλης καὶ πυκνῆς τραχυτέραν ἐφόδοις Σαρακηνῶν ἰδεῖν μὲν ἀγρίων, ἀδικίᾳ(3) δὲ χαλεπωτέρων, τὴν τοιαύτην πορείαν εὐκόλως ἡμέρωσας, στρατιώταις οὐδὲ εἴκοσιν ἀριθμὸν τοὺς ἐν ταῖς ὁδοῖς ὀχληροὺς ἐξαπειλῶν(4) ἀναστήσας. [2] Ταύτην ἐγώ σου τὴν νίκην τιμιωτέραν φημὶ τῶν ὅπλοις καὶ πυρὶ καὶ σιδήρῳ σοι πεπραγμένων(5). [3] Πολυχειρίας μὲν γὰρ κατορθούσης, πάντες μερίζονται τῶν εἰργασμένων τὴν δόξαν, ἄλλων ἄλλους καταβαλόντων(6), κἂν ὁ στρατηγὸς τῇ τραγῳδίᾳ(7) δοκῇ τὴν εὔκλειαν ἄρνυσθαι(8)· ὅτε δὲ τῇ φήμῃ τοῦ στρατηγοῦ τὸ δυσμενὲς ὑποκύπτει(9), ἕνα δεσπότην ἔχει καὶ κληρονόμον ἡ νίκη τὸν ἐμβαλόντα τὸ δέος. [4] Καὶ τὰ μὲν δι' ἀγῶνός τε καὶ χειρῶν καὶ ὀργάνων τῆς μάχης ἱστάμενα τρόπαια πολλὰς δίδωσι τοῖς ἡττωμένοις παραμυθίας ἐμφάσεις — καὶ γὰρ τύχης ἐπιβουλὴν αἰτιάσασθαι καὶ χωρίων ἀσθένειαν καὶ τὸ τοὺς πολεμίους ἐξαίφνης ἐπιπεσεῖν καὶ δόλους δὴ(10) καὶ ἀπάτας, καὶ μυρία τοιαῦτα τοῖς ἡττωμένοις(11) ὑπάρχει*

»siége, Bélisaire *pénètre dans la ville par l'aqueduc* et fait huit cents »prisonniers.»

31. *παραθέσεως*] Cf. § V, 5.

§ V.] 1. *οὕτω* Ms.

2. *ἔξω δρυσῶν* Ms. — Chorikios se souvient ici de Thucydide (II, 98).

3. *ἀδικεῖν* Ms.

4. Ou *ἐξ ἀπειλῶν*? Le composé *ἐξαπειλῶν* manque aux lexiques. On pourrait conjecturer encore *ἀπειλῶν ἐξαναστήσας*, ou *ἐξαναστήσας ἀπειλῶν*.

5. Cf. *Éloge de Summus*, p. 30, l. 4, Boisson., *ταύτην ἐγὼ τὴν διάλυσιν παντὸς εἶναί φημι τροπαίου τιμιωτέραν*.

6. *καταβαλλόντων* Ms.

7. Cf. plus bas, § XII, 3, *μὴ τοιοῦτος ὢν ὁ Περσεὺς ὑπόπτερος ὠνομάσθη τῷ μύθῳ*: de même, § III, 11, *αὐτὸς δὲ κατὰ τὴν ποίησιν κτλ.*: *Oraison funèbre de Procope*, p. 17, l. 3 d'en bas, Boisson., « *ἐσθλοῦ γὰρ ἀνδρός* » *ἡ τραγῳδία φησὶν* « *ἅπαντα φέρειν καλῶς* »: *Éloge de Marcien*, II, p. 110, l. 3 d'en bas, *εἶ γε, κατὰ τὴν τραγῳδίαν, φιλόψογόν ἐστι τὸ φῦλον* (*τῶν γυναικῶν*): *Oraison funèbre de Marie*, p. 48, l. 6, *ἐκείνην ὀλβίαν προσεῖπεν ἂν εἰκότως ἡ τραγῳδία, ἥπερ εὐτυχῶς τὴν τελευταίαν ἐπέρασεν ἡμέραν*: *Description de l'horloge*, p. 151, l. 1 d'en bas, *ταύτην* (*τὴν Γοργώ*) *ἂν εἶπεν ἡ τραγῳδία αἱματωπόν τε καὶ δρακοντώδη κόρην*: *Éloge de Marcien*, II, p. 114, l. 9 d'en bas, (*κίονες*) « *λευκότεροι χιόνος* » *κατὰ τὴν ποίησιν*: *Description du tableau*, p. 158, l. 5 d'en bas, *ὄρνιθας ἃς πελειάδας μὲν εἶπεν ἡ ποίησις*.

8. Euripide, *Andromaque*, 696, *ὅταν τρόπαια πολεμίων στήσῃ στρατός*, || *οὐ τῶν πονούντων τοὔργον ἡγοῦνται τόδε*, || *ἀλλ' ὁ στρατηγὸς τὴν δόκησιν ἄρνυται* || *κτλ.*

9. Cf. § II, note 3.

10. *δόλου . . ἡ* Ms. (mangeure de ver).

11. *ἡτ . ωμένοις* Ms. (mangeure de ver).

[illegible] τὸ δὲ πρὸ τῆς [illegible] ἔχει τοιαύτην.

[illegible], ἕτοιμος ἐγὼ [illegible] εἰς ἐξέτασιν, [illegible] ἐρεῖς μοι τὸν [illegible] σιωπῶ ὃν εἰκὸς [illegible] φαίνεται δὲ [illegible] δέκα μὲν [illegible] — εἰ που ξύλ- [illegible] ὅσῳ τὸ φο- [illegible] σεμνότερος ὁ παρών [illegible]

[illegible] τῷ στρατηγοῦντι [illegible] ἐπαιδεῦσεν ἡσυχά- [illegible] [2] Μοῖρα γὰρ [illegible] τὰς ὁμόρους [illegible], οἱ πολλὰν αἰ- [illegible] οἱ τοὺς ὅρους τῆς [illegible] [3] Ταῦτά σοι πο- [illegible] θυμὸς εἰς ἀβουλίαν

[illegible] p. 6, l. 8, Boisson., [illegible] de même *Tyranni*- [illegible] et p. 73, l. 1, *κατα*- [illegible]

13. [illegible]

14. [illegible] paraisse incorrect (voy. Krüger, *Grammaire grecque*, [illegible] pas qu'il y ait là d'al- [illegible] On peut rapprocher d'autres passages analogues [illegible] § VII, 3, *ὅτου δέοιτο*, et la [illegible] à ce passage.

15. Le sens [illegible] <τούτου> (ce mot est nécessaire pour [illegible] *εἰκὸς μὲν τὸν Ὅμηρον ἐπὶ τὸ μεῖζον κτλ.* D'ailleurs [illegible] ici Thucydide, I, 10, 3, *τὴν στρατείαν ἐκείνην* [illegible] *μεγίστην μὲν γενέσθαι τῶν πρὸ αὐτῆς, λειπομένην δὲ τῶν νῦν, τῇ Ὁμήρου* [illegible] *εἴ τι χρὴ κἀνταῦθα πιστεύειν, ἣν εἰκὸς ἐπὶ τὸ μεῖζον μὲν* [illegible] *κοσμῆσαι, ὅμως δὲ φαίνεται καὶ οὕτως ἐνδεεστέρα.*

16. *καὶ* paraît ici nécessaire.

§ VI.] 1. A l'éloge du duc Aratios succède celui du gouverneur Stéphanos.

2. *Τῷ στρατηγοῦντι* = *Duci*. — *Ὁ τὴν Παλαιστίνην κυβερνῶν* = *Praeses Palaestinae* ou, pour désigner ce magistrat par son titre spécial, *Consularis Palaestinae*.

3. Faut-il *ἐμπόδιον*? Cf. *Éloge de Marcien*, I, p. 87, l. 13, Boisson., *εἰ μὴ πρὸς τὴν θείαν ἀκρόασιν ἐμπόδιον ἦν φθεγγομένη*: Polybe, IV, 81, 4, *θεωρῶν δὲ μέγιστον ἐμπόδιον ὑπάρχον αὐτῷ πρὸς τὴν ἐπιβολὴν τὸν Λυκοῦργον κτλ.*

ἠρέθισε (4) *προπηδήσας τοῦ λογισμοῦ· δύναμιν γὰρ ἀποχρῶσαν ἀγείρας, τὴν ἐκείνων ἐσωφρόνισας* (5) *ἀκρασίαν, πανταχόθεν ἠλλοτριωμένην* (6) *συγγνώμης· οὐ γὰρ ἔρως ἦν ὁ τὴν ἀκολασίαν ποιῶν, ἵνα δοκῶσί τινα παραίτησιν* (7) *ἔχειν τοῦ πάθους δουλωσαμένου τὴν γνώμην, ἀλλὰ θρασύτης ἀσελγῶς ἐνυβρίζουσα.*

§ VII. *Καὶ τοῦτο μὲν ἡμῖν τοῦ λόγου τὸ μέρος ἐνταῦθα πέρας ἐχέτω· δευτέρα δέ σου κηρύττεται πρᾶξις ἐκ τῆς Καισαρέων ἅμα καὶ τῶν ἐκείνης ὁμόρων.* [2] *Τὰς γὰρ ἐν μέσῳ τῶν πόλεων κακούργων ἐνέδραις ἐπισφαλεῖς λεωφόρους, αἷς οὐδὲ στρατιώτης ἀνὴρ ἐχρῆτο θαρρῶν, νυνὶ* (1) *καὶ παιδίον ἀκινδύνως πορεύεται· κἂν ἤδη λιπούσης τῆς ἀκτῖνος* (2) *ἀνὴρ ὁδοιπόρος ἐξ ἑτέρας τῶν πόλεων ἐπὶ τὴν ἑτέραν ἰὼν μεταξύ που καθεύδῃ* (3) *χρυσὸν ἐπιφέρων* (4), *ἄσυλον αὐτῷ τὸ χρυσίον* (5) *ἐν ἐρημίᾳ καὶ νυκτὶ καὶ ὕπνῳ, τῆς τοῦ κέρδους ἐπιθυμίας τῷ φόβῳ παραχωρούσης.* [3] *Τέως δὲ, τῶν ὁδῶν κεκλειμένων ληστρικαῖς ἐπηρείαις, τὸ τῶν ἐπιμίξεων ἡδύ τε καὶ χρήσιμον τὰς πόλεις ἐξέλειπεν· ἡδὺ μὲν γὰρ ἐκδημοῦντας ἱστορῆσαι γείτονα πόλιν* (6), *ἡδὺ δὲ τὴν ἐπιθυμίαν ἐμπλήσαντας πάλιν ἐπὶ τὴν οἰκείαν ἰέναι· τό γε μὴν* (7) *κερδαλέον καὶ λυσιτελὲς οὐδὲ τὸν λίαν ἀπράγμονα καὶ διὰ παντὸς οἰκουροῦντα λανθάνει· καὶ γὰρ πλείονα πεῖραν πραγμάτων καὶ τριβὴν ὀξυτέραν καὶ τὸ ῥᾳδίως ὅτου δέοιτο* (8) *πορίζεσθαι τῶν πόλεων αἱ πρὸς ἀλλήλας ἐπιμιξίαι χαρίζονται· ἑκάστη γάρ, τὸ*

---

4. Cf. § I, 1, *πρὸς ἐπίδειξιν πρώτην ἐρεθίσαι*, et la note afférente à ce passage.

5. Cf. § IV, 1, *πικροτέρῳ ἐπῆλθε σωφρονισμῷ*: et 7, *τὴν ἴσον ἅπαντας ὑποστῆναι σωφρονισμόν*: *Tyrannicide*, p. 58, l. 9, Boisson., *τὴν . . . κακίαν οἴονται δεῖν σωφρονίζειν οἱ νόμοι.*

6. *ἠλλοτριωμένης* Ms. Cf. *Éloge de Marcien*, II, p. 110, l. 4 d'en bas, Boisson., *ἔπαινος δὲ γυναικῶν πάσης ἠλλοτρίωται κολακείας.* Cf. aussi Théodoret, *sur Daniel*, ch. 3 (t. II, p. 1116, Schulze), *καὶ μὴ παντελῶς ἡμᾶς τῆς σῆς προμηθείας ἀλλοτριῶσαι.*

7. *π . . αίτησιν* Ms.

§ VII.] 1. *γυνὴ* Ms.: *νυνὶ* Tournier.

2. *ληγούσης* (à ce qu'il semble) *ἀκτῖνος* Ms.

3. *καθεύδει* Ms.

4. *ἐπιφέρων*] Cf. § IV, 5.

5. *χρυσίον* est écrit deux fois dans le Ms.

6. Voy. un développement tout semblable, sur le même motif, dans le second *Éloge de Marcien*, p. 124, Boissonade.

7. *γε μὲν* Ms. Au sujet de *γε μὴν*, voy. Hermann sur Viger, *De praecipuis Graecae dictionis idiotismis*, p. 826 (4e éd.).

8. Cf. § V, 5, *ὃν γὰρ ἄγοι*, et la note; puis § XII, 3, *ὅπου γῆς εἴης*: p. 64, l. 7, Boisson., (*βούλεται πληροῦσθαι*) *πᾶν ὁτιοῦν προστάξειεν*: et cidessous *εἴη* (voy. note 12).

μὲν αὐτὴ κέκτηται, τὸ δὲ παρ' ἑτέρας(9) λαμβάνει (10), τάχα τῆς φύσεως ἐξεπίτηδες (11) τοῦτο μηχανωμένης, ἵνα πρόφασις εἴη (12) φιλίας ταῖς πόλεσιν ἡ πρὸς ἀλλήλας τῶν ἐπιτηδείων ἀντίδοσις.

§ VIII. Ὃ τοίνυν ἐν μέσῃ τῇ Καίσαρος ἔργον σοι πέπρακται, καὶ μάλα σοι πεπρᾶχθαι προσῆκον, οὐδὲ τοῦτο φέρειν σιωπῇ καρτερῶ (1). [2] Ἑσπέρα μὲν ἦν, ἀγορὰ δὲ πλή-[fol. 33]θουσα πανταχοῦ, μήπω τοῦ καιροῦ καλοῦντος ἐπὶ τὴν ἔμφυτον ἡσυχίαν· θορύβου δέ τινος ἄφνω συμβάντος οἷον φιλεῖ δῆμος ποιεῖν, ἄλλος ἀλλαχοῦ περιέτρεχον πῦρ ὀνομάζοντες·

πάπτηνεν(2) δ' ἄρ' ἕκαστος ὅποι φύγοι αἰπὺν ὄλεθρον(3)·

παρὰ τοσοῦτον ἡ μητρόπολις (4) ἦλθε κινδύνου. [3] Οὕτω δὴ πάντων ὡς ἐν φλογὶ καὶ νυκτομαχίᾳ ταραττομένων τῆς νυκτὸς ἐκείνης οὐδὲν εἰς ἀνάπαυλαν προσλαβών, οὐδ' ὅσον τοὔπος (5) Ὁμήρου συστῆσαι κοινὸν ἁπάντων δεσπότην τὸν Ὕπνον ἀποκαλοῦντος (6), περιέθεις λαμπαδίῳ προηγουμένῳ πάντα περισκοπῶν, πᾶσιν ἐφεστηκώς, μή τις ἐξάπτῃ τὸν δῆμον εἰς ταραχήν, μή που λανθάνουσι (7) κεκρυμμένοι σπινθῆρες· οὐ γὰρ ἡγήσω δεῖν ἀναπαύεσθαι τῆς φλογὸς οὐ δεχομένης ἀνακωχήν· τὸ γὰρ πρῶτον ἀεὶ δαπανώμενον εἰς πυρὸς φύσιν μεταβληθὲν ἐπινέμεται τὸ πλησίον. [4] Νὺξ ἐκποδών· καὶ πάντες εἰρηνικῶς

---

9. ἑτέροις Ms.
10. λ.μβάνει Ms. (mangeure de ver).
11. ἐξεπι.ηδὲς Ms. (mangeure de ver).
12. Εἴη est incorrect; cependant il n'est pas sûr que Chorikios ait écrit ᾖ. Voy. d'autres irrégularités du même genre, ci-dessus, à la note 8.

§ VIII.] 1. φέρειν σιωπῇ καρτερῶ peut paraître suspect. — *Éloge de Summus*, p. 34, l. 17, Boisson., τὰ τοῦδε σιγῇ παραδούς: *Mimes* (discours inédit), fol. 154, ὅθεν καὶ τοῦτο . . . σιγῇ παρατρέχεις.
2. πάπτην ἐν Ms.
3. Πάπτηνεν δὲ ἕκαστος ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Iliade, XVI, 283.
4. Césarée était alors la métropole de la province de *Palestine première*. Cf. plus bas, § IX, 2: et surtout Justinien, προοίμιον de la *Novelle* 103, Ἡ Καισαρέων μητρόπολις ἡ Παλαιστίνης ἡγουμένη τῆς πρώτης. Cf. encore Hiéroclès, *Synecdème* νγ' (éd. G. Parthey, Berlin, 1866), Καισάρεια μητρόπολις (en tête des vingt-deux villes principales de la *Palestine première*). L'importance de Césarée remonte bien plus haut que Justinien. Déjà Tacite (*Histoires*, II, 78) l'appelait *Judaeae caput;* et on voit dans les *Actes des Apôtres* que Césarée était, dès cette époque, la résidence du gouverneur de la province, ἡγεμών (ce gouverneur portait alors le titre de *procurator Palaestinae*).
5. τὸ ἔπος Ms.
6. Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων
Iliade, XIV, 233.
7. λανθάνουσιν Ms.

ἐπὶ θέαν συνέρρεον(8), *τῶν θορύβων αὐτοῖς λαμπρῶς λελυμένων*(9). [5] *Συγγραψάτω δή τις, ὅτῳ τέχνη συγγράφειν, τὰ τῶν στάσεων χαλεπά, νόμων ὀλιγωρίαν, ἑταιρείας*(10) *ἀτόπους· ὅσῳ γὰρ ἂν τις κατηγορήσῃ τῶν στάσεων, μείζων τῷ διαλύσαντι*(11) *γίνεται κόσμος.* [6] *Δῆμοι γὰρ ἐπ' ἀλλήλους ἐρίζοντες φιλονεικότεροι πολεμίων, καὶ μάλιστα σιδηροφορεῖν ἐγχειροῦντες, τῆς ἀπειροκαλίας*(12) *αὐτοὺς εἰς ἄκριτον συμπλοκὴν ἐμφερούσης· δεινὴ δὲ καὶ ἄλλως καὶ δυσίατος ἔρις ἡ τῶν οἰκείων ἐστὶ πρὸς ἀλλήλους.* [7] *Τοιγαροῦν, εἴ ποτέ τις ἔδοξε τὴν προτέραν σύγχυσιν ἀναστεῖλαι, πάλιν αὐτῆς ὁμοίως*(13) *ἀναφυείσης ἔγνω πεποιηκώς τι τοιοῦτον ὥσπερ ἂν εἰ φλογὸς ἐκ ῥίζης τινὸς ἀφανοῦς εἰς ὕψος ἠρμένης, τὸ περιθέον ἄνωθεν πῦρ ἀποσβέσας τὴν ὕπουλον φλόγα καὶ κάτωθε βρύουσαν εἴασε.* [8] *Τὸ γὰρ πάλιν μὲν ἐκείνους νεωτερίσαι, πάλιν δὲ πυρπολῆσαι τὸ ἄστυ, τοῦ μὴ πρόρριζον ἐκκεκόφθαι*(14) *τὴν στάσιν τεκμήριον ἦν.*

§ IX. *Ἔχει σου καὶ τρίτην*(1) *λέγειν φιλανθρωπίαν ὁ δῆμος ὁ Καισαρέων.* [2] *Σιτοδείας γὰρ ἔναγχος ἐκείνοις ἀπειλουμένης, καὶ τοσούτου δέους ἐπικρεμασθέντος ὡς ἐν μεγάλῃ πόλει καὶ ἀρχὴν ἐχούσῃ*(2) *καὶ ζῆν ἐν εὐπαθείαις εἰθισμένῃ, σίτῳ πλουσίαν ἔδει-*

---

8. *συνέρ.εον* Ms. (mangeure de ver).
9. *λελυμένω.* Ms. (mangeure de ver).
10. *ἑταιρίας* Ms.
11. Justinien, créant par sa *Novelle* 103 le proconsulat de Palestine en faveur de Stéphanos, qui avait rendu des services exceptionnels comme gouverneur de la province consulaire de Palestine première, confirme d'une manière éclatante, dans l'exposé des motifs, le témoignage rendu ici par Chorikios: *Καὶ γὰρ δὴ τοῦτο αὐτοῦ* (c.-à-d. *Στεφάνου*) *τῆς ἀρχῆς ἴδιον, ὃς δὴ παραλαβὼν στασιάζουσαν τὴν χώραν ἔκ τε προφάσεων ἑτέρων καὶ μάλιστα ἐκ τοῦ διαφόρου τῶν θρησκευμάτων εἰρηνικήν τε ἀπέδειξε καὶ πάσης ἀπήλλαξε ταραχῆς.* — « Au culte des divinités adorées par leurs ancêtres, » dit Mignot, dans son sixième mémoire sur les Phéniciens, en se référant au témoignage de "Marc. Diacon. *Vita S. Porphyr.* ap. Baron. ad. ann 401", «les Gazéens avaient ajouté celui des dieux de la Grèce qu'ils avaient adopté pendant qu'ils étaient sous la domination des successeurs d'Alexandre, et ils le conservèrent sous celle des Romains: cette idolâtrie était encore la religion dominante de leur ville à la fin du IVe siècle et au commencement du Ve siècle.» (*Mémoires de l'Académie des Inscriptions et Belles-Lettres*, t. XXXIV [1770].) On voit que l'idolâtrie persistait encore dans la province vers le milieu du VIe siècle.
12. *ἀπει.οκαλίας* Ms. (mangeure de ver).
13. Peut-être *αὖθις ὁμοίας*.
14. Cf. *Tyrannicide*, p. 57, l. 10, Boisson., *μήπω προρρίζου τῆς τυραννίδος ἐκκεκομμένης*.

§ IX.] 1. L'orateur réunit sous un seul chef les faits énoncés dans les §§ VII et VIII; c'est ainsi qu'il n'en est encore qu'au troisième point de l'éloge du gouverneur.
2. Cf. ci-dessus, § VIII, 2, note 4.

ξας τὴν μητρόπολιν· καὶ πρὸς τὴν ἐναντίαν δόξαν [fol. 34] *περιέστησαν οἱ καιροὶ, ὥστε τοὺς πάλαι τῆς εὐπαθείας ἐνδείας γενέσθαι δοκεῖν παραβαλλομένους τοῦ σίτου τῇ περιουσίᾳ.*

§ X. *Ἑτέραν τοίνυν εὐεργεσίαν τῆς εἰρημένης ἀντίρροπον ἐκ τῆς αὐτῆς ἥκω σοι πόλεως φέρων.* [2] *Σταδίους, οἶμαι, πεντήκοντα πρὸς ἕω τῆς πόλεως ἐξιόντι πηγαὶ συναντῶσι διαφανῆ καὶ ἀλύπῳ νάματι*(1)*· ἐντεῦθεν ὁδὸς μεμηχάνηται τὰ τῶν πηγῶν εἰσάγουσα δῶρα τῇ πόλει*(2) *κρήναις πεποιημέναις εἰς ὑδάτων ὑποδοχήν.* [3] *Φιλεῖ δὲ τὰ τοιαῦτα πυκνοτέρας τυγχάνειν ἐπιμελείας.* [4] *Ῥᾳθυμίας οὖν γινομένης*(3)*, οὐκέτι τοῖς ῥεύμασιν ὁ πόρος ὁμοίως ἀκώλυτος ἦν, ἀλλὰ πολλαχῇ τε προσέπταιεν ἡ τῶν ὑδάτων φορὰ καὶ σχολαιότερον*(4) *τοῦ συνήθους ἐβάδιζεν, ὥστε τὰς κρήνας ἐντεῦθεν τὰς μὲν ἀπράκτους παριέναι συνέβαινεν ἐρήμους οὔσας ὑδάτων, παρὰ δὲ τῶν ἔλαττον τῆς χρείας ὑδρεύεσθαι, καὶ τοῦτο τοὺς ἐν ἡλικίας ἀκμῇ, μετὰ πλείστης ἅμα φιλονεικίας, τῶν ἀρίε-*

---

§ X.] 1. *διαφανῆ καὶ ἀλύπῳ νάματι* Ms. première main: *διαφανῆ καὶ ἀλύπα νάματα ἔχουσαι* deuxième main. — Si la seconde main jouissait de quelque autorité, ce qui est au moins fort douteux, il suffirait peut-être de lire *πηγαὶ . . . διαφανῆ καὶ ἀλιπῆ* (ou *ἀλειπῆ*) *νάματα ἔχουσαι*. Si l'on considère, au contraire, les leçons de la seconde main comme n'ayant d'autre valeur que celle de simples conjectures, on pourra songer à diverses restitutions. Voici d'abord quelques passages de l'auteur qui ont une certaine ressemblance avec celui qui nous occupe. *Oraison funèbre de Procope*, p. 7, l. 7, Boisson., *ὅπου χαρίεντα καὶ διαφανῆ καὶ πότιμα νάματα*: *Oraison funèbre de Marie*, p. 42, l. 2 d'en bas, *ἔνθα . . . . εἰκὸς . . . . πηγὰς καθαρὰς καὶ διαφανῆ νάματα ῥεῖν*: *Éloge de Marcien*, I, p. 88, l. 5 d'en bas, *ὥσπερ γὰρ ἀφθόνου πηγῆς χρυσίου σοι νάματα χορηγούσης*: *Éloge de Marcien*, II, p. 109, l. 4, *ἀπὸ τοιούτων οὖν πηγῶν ἀρυσάμενος πολλὴν ναμάτων φοράν*: *Oraison funèbre de Procope*, p. 11, l. 4, *τὴν ψυχὴν πηγὴν εἶναί τινα παντοίοις βρύουσαν νάμασιν*. La paléographie suggérerait la correction *πηγαὶ.. διαφανεῖς ἀλιπεῖ* (on reviendra plus bas sur ce mot) *νάματι* (*ΔΙΑΦΑΝЄΙCΑΛ = ΔΙΑΦΑΝЄΗCΑΛ*, c.-à-d. *διαφανει και αλ.*, d'où *διαφανῆ καὶ ἀλ.*). Nous croyons cependant être plutôt dans le vrai en supposant qu'il est tombé un mot. Alors, la restitution *διαφανῆ καὶ ἀλιπῆ ⟨χορηγοῦσαι⟩ νάματα* nous paraîtrait préférable à celle de la seconde main. Mais nous nous arrêterions plus volontiers à la suivante: *πηγαὶ . . . διαφανεῖς καὶ ἀλιπέσι ⟨βρύουσαι⟩ νάμασιν* (en comparant le texte de la p. 11, l. 4 de Boisson., cité plus haut dans cette note, et rapprochant *βρύουσαν* § VIII, 7). — Quant au mot caché sous *ἀλύπῳ*, nous ne voyons, dans aucun cas, que ce puisse être un autre adjectif que *ἀλιπής* ou *ἀλειπής* (*αλιπ ЄCΙ = αλυπ ωΙ*), bien qu'il n'y ait qu'un seul exemple de la première forme au *Thesaurus-Didot*, et que l'autre ne soit connue que comme le nom d'une certaine source intarissable qui existait à Éphèse.

2. Des restes de cet aqueduc sont encore visibles aujourd'hui parmi les ruines de Césarée de la Palestine (moderne Kaisarieh), d'après le comte de Medem chez Berghaus, *Asie*, 3e livraison, *Monuments de la Syrie*, p. 42 (cité d'après Cless, au t. IV, p. 354, de la *Real-Encyclopaedie* de Pauly).

3. Peut-être *γενομένης*.

4. Peut-être Chorikios avait-il écrit *σχολαίτερον*.

σθαι βουλομένων συνωθουμένων ἀλλήλοις· γύναια γοῦν καὶ πρεσβῦται καὶ παῖδες, ἔνιοι μὲν σὺν κενοῖς ἐπανήρχοντο(5) τοῖς ἀγγείοις, ἐνίοις δὲ μέγας ὑπῆρχεν ἀγὼν ἡμιτελῆ ταῦτα κομίζειν, πολλοὶ δὲ τῶν παίδων, κατεαγότων αὐτοῖς τῶν σκευῶν, ἀπήεσαν(6) ὀδυρόμενοι. [5] Τῆς οὖν τῶν ὑδάτων ἐνδείας τὴν ἐπιθυμίαν αὐξούσης, τῆς ἐπιθυμίας δὲ μείζω ποιούσης τὴν σπάνιν, καὶ συναυξανομένων ἀμφοτέρων ἀλλήλαις, πανταχόθεν ἄφόρητον ἦν τὸ κακόν. [6] Καί τις τότε ποιητικὸς(7) εἰκότως ἂν ἔφη τὴν Καίσαρος πολυδίψιον ἄστυ(8)· μᾶλλον δέ, τὸ μὲν Ἄργος — οὕτω γὰρ ἐκεῖνο καλοῦσιν οἱ ποιηταί — τοὺς ἐνοικοῦντας ἀμέμπτους ἐποίει τῶν ὑδάτων τὴν ἀπορίαν ἔμφυτον ἔχον, Καισαρεῦσι δὲ πρὸς ὄνειδος τῆς ῥᾳθυμίας ἔρρεον αἱ πηγαὶ καὶ πικροτέραν αὐτοῖς ἐντεῦθεν ἀθυμίαν εἰσῆγον· οὐ γὰρ οὕτω(9) λυπεῖ(10) τὰ τερπνὰ διεστηκότα τῆς θέας ὅσον(11) φαινόμενα τοὺς ἀπολαύειν οὐ δυναμένους. [7] Τίς οὖν ὁ ταύτην λύσας τὴν συμφοράν; τίς ὁ τοῖς ῥεύμασιν ὁδὸν ἐλευθέραν ἀνοίξας καὶ τὰ πάλαι κωλύματα τεχνίταις ἀποτεμὼν τὰ τοιαῦτα δεινοῖς(12); τίς ὁ ταῖς κρήναις ἑτέρας ἔτι προσθείς, τῆς(13) τῶν ὑδάτων ῥύμης νικώσης τῶν προτέρων τὸ πλῆθος; Ἴσασιν οἱ πεπειραμένοι. [8] Ἧρκει μὲν οὖν εἰς ἔσχατον ὅρον ἐπαίνου σοι ταῦτα, τῶν μάλιστα συντελούντων εἰς βίον αἰτίῳ φανέντι· οὐ μὴν ἄχρι τούτων ἡ χορηγία τοῖς εὐφημεῖν βουλομένοις, πάλιν ἐνταῦθα χρηστόν σου(14) ζηλώσαντος ἰατρόν· ἐκεῖνόν τε γὰρ ἡ τέχνη κελεύει(15) τοῦ τε μὴ νόσον ἐπιπεσεῖν προνοεῖσθαι καὶ γενομένην ἐπανορθοῦν(16), σύ τε τὸν ἐλπισθέντα

5. ἐπαν. ρχοντο Ms. (mangeure de ver).

6. Selon Cobet, un *attique* et un bon *atticiste* auraient écrit ἀπῇσαν (*Variae Lectiones*, 2e éd., p. 308: et ailleurs.)

7. Cf. *Oraison funèbre de Marie*, p. 48, l. 4 d'en bas, Boisson., ἐγὼ δὲ μέτρου χωρίς, ου' γάρ εἰμι ποιητικός.

8. καί κεν ἐλέγχιστος πολυδίψιον Ἄργος ἱκοίμην. (*Iliade*, IV, 171.) Cf. *Oraison funèbre de Procope*, p. 23, l. 5 d'en bas, Boisson., ἥ τε γὰρ πόλις τοσοῦτον προσείληφε μέγεθος τῶν στοῶν, ὡς ἐξεῖναι ποιητικῶς εὐρυάγυιαν αὐτὴν ὀνομάζειν.

9. οὐχ οὕτω λυπεῖ τὰ τ. δ. τ. θ. ὅσον φαιν. τ. ἀ. οὐ δυναμένους, fragment ιβ' chez Boissonade, p. 283. (Sur l'origine de ce fragment, voyez la note 9 du § III.)

10. A la marge, abréviation de γνώμη.

11. ὅσῳ Ms: ὅσον manuscrit de Macarios Chrysocéphale (voyez la note 9 ci-dessus, et cf. la note 9 du § III).

12. Cf. *Oraison funèbre de Procope*, p. 13, l. 1, Boisson., καταγέλωτα κινεῖν τοῖς τὰ τοιαῦτα δεινοῖς.

13. La seconde main (sur l'autorité de cette main, voy. la note 1 du § X) a ajouté ὡς entre προσθείς et τῆς.

14. μου Ms.

15. Cf. § IV, 10 ἐκείνη (ἡ τέχνη) κελεύει τὸν ἐπαινέτην κτλ.

16. Cf. *Tyrannicide*, p. 60, l. 4, Boisson., τοῖς Ἀσκληπιάδαις μείζων ὀφείλεται χάρις ἐπερχομένην ἀναστέλλουσι νόσον, ἢ παραπεσοῦσαν ἰασαμένοις.

λιμὸν ἀνακόψας, — ἐξ οὗ πλεῖστα συμβαίνειν ἀρρωστήματα πέφυκεν, — ἐπειδὴ τοὺς ἐλάττω τῶν ἱκανῶν κεκτημένους νόσος μετὰ τῆς ἐνδείας ἐπιθεμένη διετίθει κακῶς, ἔπαθες τὴν ψυχήν, ἐχορήγησας [fol. 35] τὰ πρὸς ἴασιν, συνήσθης ἀπηλλαγμένοις.

§ XI. Ἐντεῦθεν(1) δοκῶ μοι τὰς πόλεις ὁρᾶν κύκλῳ περιεστώσας, ἑκάστην ἐμοῦ δεομένην πλείοσιν ὑπὲρ αὐτῆς χρήσασθαι λόγοις(2), οἷα δὴ πλείους τῶν ἄλλων ὀφειλούσης σοι χάριτας· τὴν μὲν(3) παῖδας ὑποδεικνύουσάν μοι καὶ γύναια λῃστρικῆς ἐπηρείας ἐλεύθερα, τὴν δὲ τοὺς οἰκείους πολίτας τὸ θεῖον πεπαιδευμένους τιμᾶν, ἑτέραν πολεμίων ἀκολασίας ἀπηλλαγμένους, ἄλλην ταραχώδεις φατρίας(*) πεπαυμένας. [2] Καὶ τὰς ἄλλας μὲν οὕτω πως θεωρῶ τῇ φαντασίᾳ, τὴν ἡμετέραν δὲ πόλιν ὑπονοῶ μειδιῶσαν ὁρᾶν, εἰ, παρεστηκυίας αὐτῆς, οἴεταί τις τὴν νικῶσαν ἁρπάσαι (4) καὶ μὴ λογίζονται πόθεν αὐταῖς γέγονεν εὖ παθεῖν· εἰ γὰρ μὴ τοῦτον ἐγώ, φησίν, ἐθρεψάμην (5), πῶς ἂν ὑμῖν ὑπῆρχε σωθῆναι; [3] Δίκαια τοίνυν λεγούσῃ ψηφίζομαι· πρὸς γὰρ τῷ μήτηρ εἶναι, καὶ μεγίστας περὶ αὐτὴν(6) προβάλλεταί σου φιλοτιμίας(7). [4] Καὶ τί φησι; « Δύο (8) μάλιστα τρόποι (9) φρου-

---

§ XI.] 1. Résumé de l'éloge de Stéphanos.

2. Voy. le même procédé oratoire dans l'*Oraison funèbre de Marie*, p. 43, Boisson., καὶ πρὸς τοσούτους αὐτῇ τῆς φιλανθρωπίας μεριζομένης, εἴ τις τὴν μεγίστην ἐκείνης εὐεργεσίαν ἐπιθυμήσας μαθεῖν, εἰς ἕν τι τῶν χωρίων τοὺς εὖ παθόντας συναγαγών, ἕκαστον ἔροιτο τίνα διὰ πλείονος ἤγαγε μᾶλλον εὐνοίας, ἑαυτὸν ἅπας (*sic* Boisson.) ἐρεῖ.

3. μὲ Ms. (le ν n'a pas été mangé par un ver: il a été oublié par le copiste).

4. Cf. *Éloge de Marcien*, II, p. 119, l. 8, Boisson., τῶν γὰρ ἰσορρόπων οὐ ῥᾴδιον ὅτῳ ψηφίσεται τὴν νικῶσαν εὑρεῖν: Eustathe (*alias* Eumathe) le romancier, p. 9, σὺ δ' ἂν εἰ δικαστὴς καθίσῃς αὐτῶν, οὐκ οἶδ' ᾧ τὴν νικῶσαν ἀποχαρίσῃ.

5. Stéphanos était donc originaire de Gaza. Cf. 3, πρὸς γὰρ τῷ μήτηρ εἶναι.

6. αὐτὴν Ms.

7. Cf. *Oraison funèbre de Procope*, p. 23, l. 10, Boisson., τὰς ἄρτι σοι πραχθείσας τῇ πόλει φιλοτιμίας. On trouvera aussi à cet endroit-là de l'oraison funèbre de Procope quelques détails sur les embellissements de Gaza.

8. δύο μάλιστα τρόποι φ. τ. π., ε. τ. θ. καὶ περίβολος ἀρραγής (ἀραγὴς Ms.) fragment ιγ', chez Boissonade, p. 283. (Sur l'origine de ce fragment, voy. la note 9 du § III.)

9. Cf. *Tyrannicide*, p. 73, l. 11, Boisson., εἰσὶ τρόποι παντοδαποὶ πρὸς ὄνησιν ἢ πρὸς εὐθυμίαν εὑρημένοι τῆς πόλεως, ἀριστείαι (ἀριστεῖαι manuscrit: ἀριστεῖα Boisson.) καὶ χορηγίαι καὶ τριηρῶν ἐπιδόσεις καὶ τὰ τούτοις προσεοικότα. — Néanmoins τρόποι φρουροῦσι peut paraître suspect. Weil songe à προστάται et rapproche Eschyle, *Les Sept contre Thèbes*, 408, τῶνδ' ἀντιτάξω προστάτην πυλωμάτων.

* Voy. ci-après, p. 80, l. 14 d'en bas. H. G.

ροῦσι τὰς πόλεις, εὐμένειά τε θεοῦ καὶ περίβολος ἀρραγής(10)· ὧν τὸ μὲν παρὰ σοῦ γέγονε, τὸ δὲ διὰ σοῦ· καὶ νῦν ἑκατέρωθεν ἀδεὴς ἐγενόμην, τοῦ μὲν τεμένους(11) εἰς εὔνοιάν μοι τὸ θεῖον ἐπισπωμένου, τοῦ δὲ τείχους (12) ἀκέραιόν με φρουροῦντος. [5] Τοιαύτας ἔχω, φησί, καὶ τοῦ μέλλοντος τὰς ἐλπίδας(13). Ἀπολήψεταί μοι τὸν ὄροφον ὁ βασιλέως ἐπώνυμος χῶρος(14), ἀπολήψεταί μοι τὸ λεῖπον ἡ πρὸς τὴν ὡραίαν γινομένη σκηνή, ἀνοίξω τοῖς ἐνοικοῦσιν ἕτερον χειμῶνος ὥρᾳ(15) λουτρὸν(16) καὶ μετοχετεύσω λουομένοις πότιμον ὕδωρ καὶ λίαν ἐπιτήδειον εὐεξίᾳ σωμάτων.» [6] Ταῦθ' ἡ(17) πόλις· ἐγὼ δέ σου τὰ πεπραγμένα θαυμάζων, καὶ τὴν τῶν ἔργων ἀποδέχομαι τάξιν, ὅτι τῷ περιβόλῳ τὴν πρώτην ἀπονείμας φροντίδα καὶ τὴν πόλιν ἀνάλωτον καταστήσας, οὕτω τῆς ἔνδον εὐπρεπείας ἐπεμελήθης, ἵνα μὴ τοῖς πολεμίοις καλλωπίσῃς τὴν πόλιν.

§ XII. Ἤκουσε τῶν πανταχοῦ σοι πεπονημένων ὁ βασιλεὺς ἀνδρῶν οὐδαμῶς οἵων τε ψεύδεσθαι· ἦν μὲν γὰρ ἡ πρεσβεία τρεῖς ἅμα τὸν ἀριθμὸν ἱερεῖς, ὁ δὲ τοὺς πρέσβεις ἐκπέμψας ἁπάντων ἱερέων ὁ κράτιστος(1). [2] Πῶς οὖν εἰκὸς βασιλέα διατεθῆναι πρὸς τὴν πρεσβείαν; ἢ δῆλον ὅτι(2) περιχαρῆ μὲν γενέσθαι,

---

10. ἀρογῆς (à ce qu'il semble) Ms.: ἀραγης Macarios Chrysocéphale (voy. ci-dessus la n. 8, et cf. la n. 9 du § III). [VIII. II, p. 20: ἀραγής. H. G.]

11. Il s'agit du temple dédié au martyr Sergios. Cf. plus bas, § XII, 4.

12. Dans les deux éloges de l'évêque Marcien, Chorikios attribue à cet évêque, sans faire même mention du gouverneur, tout le mérite de la reconstruction des remparts (voy. aux pages 81 et 111 de l'édition Boissonade).

13. Chorikios, après avoir parlé des premiers embellissements de Gaza, dirigés par l'évêque Marcien, disait de même, dans l'*Oraison funèbre de Procope* (p. 23, dernière ligne, Boisson.), καὶ μαντεύομαί γε πλείονά τε καὶ μείζω γενήσεσθαι τῶν γεγονότων. [On attendrait τοιαύτας δ' ἔχω κτλ. — Réd.]

14. Cf. *Oraison funèbre de Procope*, p. 7, l. 6, Boisson., ἡ μὲν Ἀντιόχου (κέκτηται) τὸν ὁμώνυμον χῶρον τῆς Ἀπόλλωνος ἐρωμένης, où Boissonade a mis cette note: «celeberrimum fuit Daphne suburbium Antiochiae.»

15. Cf. ὥρᾳ χειμῶνος, p. 114, l. 4 d'en bas, Boissonade.

16. Un premier établissement de bains avait été ouvert précédemment par l'évêque Marcien, comme on le voit dans l'*Oraison funèbre de Procope*, p. 23, l. 3 d'en bas, Boisson., τό τε λουτρὸν ἀνέῳκται διὰ σέ. Rien que le rapprochement de ces deux termes, τὸ λουτρὸν, ἕτερον λουτρὸν, suffirait à établir que l'*Éloge d'Aratios et de Stéphanos* est postérieur à l'*Oraison funèbre de Procope*. Du reste, il paraît probable que, du vivant de Procope, on n'eût pas pris l'élève de préférence au maître pour prononcer le discours dans une occasion aussi solennelle qu'était la réception des deux plus hauts personnages de la province.

17. Ταῦτα ἡ Ms.

§ XII.] 1. Cf. plus haut, § III, 2, τῷ κορυφαίῳ τῶν ἱερέων. Chorikios veut sans doute désigner par ces expressions le patriarche de Jérusalem.

2. Boissonade écrit ordinairement ἢ δῆλον ὅτι, sans être absolument constant avec lui-même (p. 65, l. 5 d'en bas, ἢ δῆλον ὅτι).

μηδαμῶς δὲ θαυμάζειν. εἰ τοιαῦτά σοι μαρτυροῖεν· μείζονα γὰρ συνειδέναι σοι τούτων. [3] *Τί γὰρ τῶν σῶν ἐκεῖνος πλεονεκτημάτων* (3) *ἠγνόησεν; οὐ τῶν ἀποκρίσεων*(4) *αὐτῷ τὰς μεγίστας ὑπηρετεῖς; οὐ τοσαύτην ὀξύτητα ταῖς χρείαις εἰσάγεις, ὡς ἐννοεῖσθαί τινα· «Μὴ τοιοῦτος ὢν ὁ Περσεὺς ὑπόπτερος ὠνομάσθη τῷ μύθῳ*(5)*;» οὐ τὴν φήμην ἀεὶ θορυβεῖς,* [fol. 36] *οὐδὲ χώραν αὐτῇ προξενῶν ὅπου γῆς εἴης*(6) *ἀγγέλλειν*(7)*;* [4] ***Καὶ*** *θαυμαστὸν οὐδὲν εἶναι τοιοῦτον ἄνδρα περὶ τὸ θεῖον τοσαύτῃ χρώμενον θεραπείᾳ τε καὶ τιμῇ δείκνυσι νεὼς οὗτος ἐν ἄστει πολυτελὴς*(8)*, τοῦ μὲν ἱερέως*(9) *ἐπιμελείᾳ, σῇ δὲ φιλοτιμίᾳ μεγαλοπρεπῶς εἰργασμένος· περὶ οὗ τί ἂν μακρολογοίην εὐρυχωρίαν*(10) *ἢ κάλλος ἢ* (?) *πλακῶν ἀγλαΐαν*(11) *ἢ γραφικὴν ποικιλίαν ἢ ὡς ἐν καλῷ τοῦ ἄστεως*

3. *πλεονεκτημάτων*] Cf. § I, note 14.

4. *Ἀπόκρισις* signifie en grec byzantin *ambassade, commission, dépêche*. Voy. p. ex. Justinien, *Novelle* 123, chap. 25 et 36 *bis*; cf. Évagrios, *Histoire ecclésiastique*, IV, 38 (t. LXXXVI, col. 2776 A, collection Migne), *ταῖς γὰρ ἀποκρίσεσι τοῦ Ἀμασείας ἐπισκόπου διηκονεῖτο*: Jean Moschos, t. LXXXVII, col. 2964 D, Migne, *ἀλλ' ὕπαγε, ποίησον ἀπόκρισιν*: col. 3009 A, *ἀποστέλλει τινὰ τῶν τὰς ἀποκρίσεις διακονούντων*: et col. 3096 A, *ἐπέμπετο εἰς ἀποκρίσεις τοῦ κοινοβίου*: St Dorothée, t. LXXXVIII, col. 1720 A, Migne, *ἔπεμψέ με ὁ οἰκονόμος εἰς τήνδε τὴν ἀπόκρισιν*: Jean Malala, p. 130, l. 17, L. Dindorf, *καὶ ἐπέμψαμεν πρὸς αὐτὸν ἀπόκρισιν*: Théophane, p. 295, l. 7, Classen, *ὁ τὰς βασιλικὰς ἀποκρίσεις ποιῶν βερεδάριος*: Constantin Porphyrogénète, *Cérémonies*, p. 76 C, Reiske, *ἐνέγκαντος ἀπόκρισιν τῷ πραιποσίτῳ*, et l'annotation de Reiske. Voy. aussi les articles *Apocrisiarius*, dans l'*Onomasticon* de Rosweyd, *Vitae patrum*, Anvers 1628: *Ἀποκρισιάριος* (*legatus*), et *Ἀποκρισιαρίκιον* (*legatio*) chez Du Cange, *Glossar. med. et infim. graecitatis*: *Ἀποκρισιάριος* (*messenger, ambassador*) chez Sophocles, *Greek Lexicon of roman and byzantine periods*, Boston 1870.

5. Cf. § V, 3, *κἂν ὁ στρατηγὸς τῇ τραγῳδίᾳ δοκῇ τὴν εὔκλειαν ἀρνεῖσθαι*, et la note afférente à ce passage.

6. Cf. § V, note 14, et § VII, note 8.

7. Chorikios loue Stéphanos de son activité prodigieuse. Il est, pour ainsi dire, partout à la fois. A la frontière d'Égypte, il châtie les brigands; il purge toutes les grandes routes de sa province des voleurs qui les infestaient; il prévient les séditions à Césarée, lieu officiel de sa résidence, et il y répare l'aqueduc; puis c'est Gaza, sa patrie, où il dirige les travaux de fortification, bâtit un temple magnifique; il en fête le couronnement par un banquet auquel les personnages marquants de toute la Palestine sont conviés. La renommée ne saurait dire, à un moment donné, où se trouve Stéphanos.

8. Peut-être: *καὶ θαυμαστὸν οὐδὲν εἶναι τοιοῦτον* ⟨*ὂν*⟩ *ἄνδρα περὶ τὸ θεῖον τοσαύτῃ χρώμενον θεραπείᾳ τε καὶ τιμῇ δείκνυσι*⟨*ν ὁ*⟩ *νεὼς οὗτος οὖν ἄστει πολυτελὴς κτλ.* [Pour *οὖν*, cf. Kruger, § 14, 2, 2. H. G.]

9. *ὁ ἱερεύς*, c'est Marcien, évêque de Gaza. Chorikios composa plusieurs éloges de ce personnage, dont deux, qui nous ont été conservés, se trouvent chez Boissonade (p. 77 et 105).

10. Cf. *Éloge de Marcien*, I, p. 90, l. 13, Boisson., où Chorikios dit du même temple, *τοσοῦτον αὐτῷ μεγέθους περίεστιν, ὥστε πολλοὺς πολλαχόθεν ἐνθάδε συρρέοντας δόξαν ὀλίγων διδόναι, πολλῆς ἑκάστῳ προσούσης εὐρυχωρίας.*

11. *ἢ κάλλει* $\overset{\text{ῶ}}{\text{πλα}}$ ‖ *ἀγλαΐαν* Ms. Cf. ***Éloge de Marcien***, II, p. 116, l. 13

ἵδρυται ἢ ὅτι τοῖς γεισίοις (12) *ἐπὶ μέγα χωρήσας τοὺς δεῦρο πορευομένους ψυχαγωγεῖ πόρρωθεν ἐμφαίνων τὴν πόλιν* (13)*;* [5] *Τί ἂν ταῦτα μηκύνοιμι λέγων, οὐχ ὡς ἅπαντα πρῴην εἰπών, ἡνίκα τὸν ἱερέα σκοπὸν ἔστησά μου τοῖς λόγοις* (14)*;*

§ XIII. *Ἀλλὰ τῇ γλώττῃ μετρήσας τὴν εὐφημίαν, ἐκεῖνο γοῦν*(1) *εἰς μέσον ἄγειν ἐθέλω· ἐπειδὴ γάρ εἶχέ σοι πέρας τὸ τέμενος, ἑορτὴν ἀξίαν τῶν ἔργων ἐποίεις*(2) *· εἰς δὲ τὴν πανήγυριν ταύτην πάντας τοὺς ἐν τέλει συνήγαγες πολίτας θ'* (3) *ἅμα*

---

Au § IX, 3, il est question de quatre personnages des comédies de Ménandre, à savoir Moschion et Chérestrate, deux jeunes gens amoureux, Cnémon et Smicrinès, deux variétés de bourrus, dont le premier joint à une humeur chagrine la haine la plus profonde du genre humain, tandis que l'autre se montre de la plus ridicule avarice. Chorikios nous donne sur leur compte quelques renseignements nouveaux et qui ne pourront manquer d'être bien accueillis. Si le lecteur veut bien se reporter à la note que nous avons mise au bas du texte à propos de Cnémon, il verra qu'Alciphron, en traçant le portrait de son Cnémon (lettres 13 et suiv. des *Lettres rustiques*), a dû emprunter ses traits à la comédie de Ménandre. On ne se doutait point de ce fait. En outre, personne ne sera sans doute fâché d'apprendre que l'Avare de Ménandre craignait que la fumée, en s'échappant de son foyer, ne lui dérobât quelque chose.

?

§ XVIII, 2, *φασὶ τὸν εὑρηκότα τὴν ὑπὲρ ἧς ἀγωνίζομαι τέχνην, ἐξ οὗ πάντα φησὶν ἀπαγγέλλειν ὁ προσηγορίᾳ μὲν δεύτερος τὴν τάξιν δὲ πρῶτος, ἐκεῖνον δὴ* (c'est-à-dire Philémon) *λέγουσι καὶ τὸν παῖδα τὸν Διοπείθους* (Ménandre) *ἡλικιώτας τ' ἄμφω κτλ.*

Nous avouons ne pas comprendre la proposition *ἐξ οὗ — πρῶτος*. On nous en propose les deux explications suivantes comme possibles. Nous les reproduisons ici avec l'espoir d'attirer l'attention des philologues sur cette phrase, qui, en tout état de cause, paraît cacher sous une énigme quelque donnée intéressante.

1) « Celui dont le mime dit *ὁ δεύτερος* (par opposition au mime ancien de Sophron), bien qu'il soit en réalité le premier

par ordre de mérite, avoue ne faire que réciter de mémoire les œuvres (que reproduire les inventions).» *Μῖμος* paraît être à insérer, s'il n'est seulement à sous-entendre; et *τὴν τάξιν* peut avoir pris la place de *τὴν ἀξίαν*. Il y aurait là un renseignement littéraire nouveau, d'où il résulterait que les anciens distinguaient deux genres successifs dans l'histoire du mime, comme ils en distinguaient trois dans l'histoire de la comédie.

2) S'agirait-il du fameux Ératosthène surnommé *βῆτα*, parce qu'il se distinguait dans tous les genres en restant partout au second rang? Il s'était particulièrement occupé de l'histoire de la comédie grecque. Dans cette hypothèse, les mots obscurs *ἐξ οἷ πάντα φησὶν ἀπαγγέλλειν* devraient être tenus pour altérés. Le mot *τάξιν* pourrait se prendre dans le sens de rang, ou bien aussi dans celui d'ordre des temps. En effet, Ératosthène passe pour avoir pris le premier le nom de *φιλόλογος*, à cause de l'universalité de ses connaissances et de ses écrits.

Madrid, *Biblioteca nacional,* Manuscrit marqué N-101.

[Folio 151 verso, ligne 9 (au milieu):]

Ὁ λόγος ὑπὲρ τῶν ἐν Διονύσου τὸν βίον εἰκονιζόντων (1).

§ I. *Μηδείς* (2) *ὑμῶν, ὦ παρόντες, ὄνειδός μοι νομίσῃ τὴν ὑπόθεσιν φέρειν, εἰ, πάντα μιμεῖσθαι τῶν λόγων ἀσκούντων, τοῖς ὄνομα κεκτημένοις τὴν μίμησιν* (3) *ἐπικουρήσων ἀφῖγμαι· ὅσῳ γὰρ ἀδίκως ἐν αἰσχρᾷ γεγόνασιν ὑποψίᾳ* (4), *τοσούτῳ μᾶλλον αὐτῶν ὑπερασπίσαι προήχθην, μεγίστην εἶναι νομίσας βάσανον ῥήτορος τοὺς μετὰ κινδύνων ἀγῶνας.* [2] *Δεήσομαι δὴ πάντων ὑμῶν ἣν οὗτοι συνήθη ποιοῦνται πρὸς τὰ θέατρα* (5) *δέησιν ἱλα-*

---

1. On lit ici, à la marge du manuscrit, de la main d'Iriarte: «*De Dionysi sive Bacchi mores exprimentibus.*» Iriarte a reconnu plus tard sa distraction; il imprime dans son catalogue (*Regiae bibliothecae Matritensis codices Graeci mss.*, Matriti, 1769, p. 400) la traduction suivante, qui, cette fois, est exacte: «*Oratio de illis qui in Bacchi* (theatro) *mores imitantur.*»

§ 1.] 2. *Μηδεὶς* - *ὑπόθεσιν φέρειν*, fragment *ροα΄* chez Boisson., p. 309.

3. *ὄνομα κεκτημένοις* ⟨*παρὰ*⟩ *τὴν μίμησιν*?

4. Sur la mauvaise réputation des acteurs et actrices connus sous le nom de «mimes» voy. plus bas, § IV, 1, et la note 1. Cf. Horace, *Satires* I, 2, début, *Ambubajarum collegia*, *pharmacopolae*, ‖ *mendici*, mimae, *balatrones*, *hoc genus omne*, etc. On pourra consulter sur ce sujet l'article *Mimus*, par Witzschel, dans la *Real-Encyclopädie* de Pauly.

5. *τὸ θέατρον* est fréquemment employé pour *οἱ θεαταί* par Aristophane et autres auteurs: cf. Cobet, *Variae lectiones*, p. 297 de la seconde édition. — De même plus bas, § VI, 5, et § X, 8. — En tête de la phrase, écrire *Δεήσομαι δὲ πάντων*?

ρῶς ἀκοῦσαι τοῦ λόγου, μὴ πρὸς τὴν οὐκ οἶδ' ὅπως κατέχουσαν βλέποντας δόξαν, ἀλλὰ τὴν τοῦ πράγματος ἀκριβῶς δοκιμάζοντας φύσιν. [3] *Εἰ γὰρ πρὸς ἕνα κατήγορον οὐ ῥᾴδιον ἀντειπεῖν, ὅτι τὸ*(6) *πρότερος λέγειν πλεονεκτεῖ, λοιδορίαις καὶ σκώμμασιν ἐμφράττων τῷ συλλόγῳ τὰς ἀκοάς, πῶς ἄν τις πολλὴν ἐπιστομίσειε φήμην πάλαι κρατοῦσαν*(7) *καὶ πλείστην καταχέουσαν τῶν μίμων διαβολήν; τολμήσω δ' ὅμως τοὺς μὲν τοῦ*(8) *κακῶς ἀκούειν, τοὺς δὲ τοῦ κακῶς δοξάζειν ἐλευθερῶσαι.* [4] *Εἰ μὲν οὖν ἄμοιρος ταύτης ὑπῆρχον τῆς θέας, οὐδ' οὕτως ἂν ἐκαρτέρουν συκοφαντουμένων ἀνθρώπων ὑπεριδεῖν· ἐπεὶ δὲ θεατὴς ἐγινόμην, ἡνίκα με πλείστων ἡγουμένων ἱδρώτων εἰς ἀνάπαυλαν ὁ καιρὸς βραχεῖαν ἐκάλει πρὶν εἰς παιδευτὰς ἐγγραφῆναι*(9), *καὶ τῆς ἐντεῦθεν μετεῖχον ψυχαγωγίας, ἡγησάμην ἀγνώμων τις εἶναι δόξειν*(10), *εἰ μὴ τῇ*(11) [fol. 152] *τέχνῃ, δι' ἧς ἐκηλούμην, τὴν ἐκ τῆς γλώττης βοήθειαν ἀμοιβὴν ἐκτίσω τῆς ἡδονῆς.* [5] *Ἀεὶ μὲν γὰρ ὑβριζομένῃ συνήλγουν· ὡς δὲ φίλους ἄνδρας καὶ τραφέντας ἐν λόγοις καὶ τὸν τρόπον ἐπιεικεῖς τὰ μίμων ᾐσθόμην ἐν ἀστείᾳ*(12) *τινὶ παίζοντας*(13) *ἑορτῇ καὶ κροτοῦντα τὸν δῆμον, πρέπειν ᾠήθην ἐμαυτῷ καὶ τοῖς φίλοις καὶ τῷ δήμῳ τὰ δίκαια συνειπεῖν, ἵνα μὴ δοκοίην ἐγὼ μὲν φαύλων εἶναι συνήθης, οἱ δ' ἀνελεύθερον ἔργον ἐπιτηδεύειν, ὁ δὲ δῆμος ἀγεννές τι ποιοῦντας κροτεῖν.* [6] *Τοσαῦταί με τὴν παροῦσαν ἀπῄτουν συνηγορίαν προφάσεις.*

§ II. *Ἐπειγομένου δή μοι πρὸς τοὺς ἀγῶνας τοῦ λόγου, οὐ πρότερον αὐτὸν εἰς ἐκείνους ἀφίημι πρὶν διδάξαι τὸν τρόπον ὃν προσήκειν ἡγοῦμαι τὸ παρὸν δοκιμάζεσθαι πρᾶγμα.* [2] *Τὰς τέχνας οἱ καλῶς ἐξετάζοντες πρὸς τοὺς ἐν ταύταις εὐδοκιμοῦντας ὁρῶσιν, οὐ τοὺς ἐν ἐσχάτῃ μοίρᾳ τοῦ χοροῦ τεταγμένους*(1). [3]

---

6. *τὸ* est l'orthographe du manuscrit. L'auteur avait-il dit *τῷ* ou *τό*? la question est délicate à trancher.

7. Eschyle, *Suppliantes*, v. 294, *φάτις πολλὴ κρατεῖ.* Cf. Plutarque, *C. Gracchus*, 1, *καίτοι κρατεῖ δόξα πολλὴ τοῦτον ἄκρατον γενέσθαι δημαγωγόν.*

8. *τοὺς μὲν τοῦ*] *τοῦ τοὺς μὲν* Ms.

9. Voy. le § XIII, 2 et 5, où l'orateur nous apprend que la coutume de Gaza défendait aux maîtres qui tenaient une école dans cette ville (*παιδευταῖς*) d'assister à aucune sorte de spectacle. — Au lieu de *ἡγουμένων*, qui ne se comprend guère, *ἡττώμενον*? (Tournier).

10. *δόξειν*] *δοκεῖν* Ms.

11. *εἰ μὴ τῇ* [fol. 152] *εἰ μὴ τῇ* Ms.

12. *ἀστικῇ* serait plus conforme à l'usage. L'orateur fait allusion à une fête qui eut lieu à Gaza: voy. § XI, 11 et § XIII, 2.

13. D'abord *παίζοντα* (*ς* ajouté de seconde encre) Ms.

§ II.] 1. Cf. § V, 9, *ἔξω μοι τοῦ χοροῦ τετάχθω τῶν μίμων.*

Τοῦτό μοι παρ' ὅλην φυλάξατε τὴν ὑπὲρ τῶν μίμων ἐπικουρίαν, μὴ πρὸς τοὺς ἧττον κομψοὺς ἀποβλέποντες, ἀλλὰ τοὺς πανταχοῦ γῆς ὑμνουμένους καὶ δικαίως ἐκ τῆς τέχνης πεπλουτηκότας, ὡς ἐσθῆτι πολυτελεῖ καὶ χρυσίου περιουσίᾳ καὶ σκεύεσιν ἀργυροῖς καὶ δούλων ἐναβρύνεσθαι καταλόγῳ (2). [4] *Ὀρθῶς, οἶμαι, κρίνειν ὑμᾶς ἀξιῶ· ὡς τοίνυν οὕτω κρινούντων ἀγωνιοῦμαι.*

§ III. *Ὅτι τοίνυν οὐ φαῦλον ἡ μίμησις — δεῖ γάρ, ἐπειδὴ ταύτην ἔχουσιν ἐπωνυμίαν καὶ τέχνην, τοῦτο παραστῆσαι τὸν λόγον — ὑμῖν ἐγὼ* (1) *παρέξομαι μάρτυρας οὓς οὐ παραγράψασθαι θέμις.* [2] *Μιμεῖται γὰρ Δηΐφοβον μὲν Ἀθηνᾶ* (2), *ἡ δ' Ἀφροδίτη γυναῖκα πρεσβῦτιν* (3), *ὁ δὲ Ποσειδῶν τοῖς Ἀχαιοῖς ἐν Τροίᾳ συναγωνίζεται « παλαιῷ φωτὶ ἐοικώς »* (4), *ἀλλὰ καὶ Ἄρης ἀνδρὸς ἔχων ἰδέαν Ἕκτορι « λοιγὸν ἀμύνει »* (5), *ἁπλῶς ἅπαντες οἱ θεοὶ*

ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,
παντοῖοι (6) *τελέθοντες, ἐπιστρωφῶσι πόληας* (7).

[3] *Θεῶν οὖν μιμουμένων, τίνα τρόπον ἀνθρώποις ἔγκλημα γίνεται μίμησις;* [4] *Ἔχει μὲν οὖν ἀρκοῦσαν ὁ λόγος τὴν ἐξ οὐρανοῦ μαρτυρίαν· ἐπεὶ δὲ τὰ πᾶσιν ὁρώμενα μείζονα πίστιν ἔχει τῶν ἀφανῶν, καλὸν ἂν εἴη τοῖς εἰρημένοις ἑτέραν ἀπόδειξιν ἀνθρωπείαν προσθεῖναι* (8). [5] *Ὁρᾶτε τοίνυν ὅσαι τέχναι τὸ πλῆθος ἔργον ποιοῦνται τὴν μίμησιν· ῥητορική, ποίησις, ἡ τὸν χαλκὸν ἐξ ὕδατος ἔμψυχόν πως δοκεῖν εἶναι μηχανωμένη* (9), *ὀρχησταί, πλάσται,*

---

2. Cf. § XV, 9, *τῷ καταλόγῳ τῶν γνωρισμάτων κτλ.*: *Tyrannicide*, p. 76, l. 2, Boisson., *καὶ καταλόγους δορυφόρων ταττομένους.*

§ III.] 1. *ἔργῳ* Ms.: *ἐγὼ* Tournier.

2. *Δηϊφόβῳ (Ἀθηναίη) εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν.*
Iliade XXII, 227.

3. *γρηῒ δέ μιν εἰκυῖα (Ἀφροδίτη) παλαιγενέϊ προσέειπεν κτλ.*
Iliade, III, 386.

4. *Iliade*, XIV, 136.

5. *τῷ δ' (Ἕκτορι) αἰεὶ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει·*
καὶ νῦν οἱ πάρα κεῖνος Ἄρης βροτῷ ἀνδρὶ ἐοικώς.
Iliade, V, 603-4.

Cf. *ibid.*, 595.

6. *παντοῖσι* Ms.

7. *Odyssée*, XVII, 425-6, *καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀ.*, || *παντοῖοι τ., ἐ. πόληας.*

8. *προθεῖναι* Ms.

9. Quel est cet art? Pour quiconque se rappellera les joueurs de trompette automates de Héron d'Alexandrie ou ces oiseaux qu'on fait, à volonté, boire ou chanter, et cela *par l'effet d'un simple écoulement d'eau* (voy. notamment les nos 16 et 49, 14, 15, 28, 29, 30, 43 et 44 de la traduction anglaise des *Pneumatiques* publiée par B. Woodcroft), il y aura

ζωγράφοι. [6] *Τί ἂν μεῖζον εἴποι τις μίμων ἐγκώμιον ἢ τὸ προσηγορίαν ἔχειν τοιαύτην ἐφ' ἣν σπεύδουσιν ἅπαντες;* [7] *Ἴσμεν δέ που*(10) *καὶ τὴν Σώφρονος ποίησιν*(11) *ὡς ἅπασα μῖμοι προσαγορεύεται· καὶ τοῦτο μὲν ἅπασι γνώριμον, ἐκεῖνο δὲ τὰς τῶν πολλῶν διέλαθεν ἀκοάς.* [8] *Λέγεται* (12) *Πλάτωνα τὸν Ἀρίστωνος τουτωνὶ τῶν συγγραμμάτων ..... ὡς ἐκ Σικελίας Ἀθήναζε ταῦτα κομίσαι, μέγα τι δῶρον οἰόμενον ἄγειν τῇ θρεψαμένῃ καὶ πόλιν ἐκ τούτων κοσμεῖν Πλάτωνός τε πατρίδα καὶ πάσης μητέρα σοφίας.* [9] *Οὕτω δὲ λόγος ἐκεῖνον ταῦτα θαυμάσαι, ὡς οὐ μόνον ἡμέραν ⟨τὴν⟩ ὅλην αὐτοῖς* (13) *ὁμιλεῖν, ἀλλὰ καὶ τῆς νυκτὸς ὑποβάλλειν αὐτοῦ κατόπιν τῇ στρωμνῇ τὸ βιβλίον* (14), *ὅπως, οἶμαι, γένοιτο πρόχειρον εἴ πού τις ἔννοια παραπέσοι νύκτωρ αὐτῷ δεομένῃ τοῦ ποιητοῦ.* [10] *Οὗτος τοίνυν ὁ Πλάτωνα λα-*

---

quelque présomption que Chorikios avait ici en vue la fabrication des automates.

10. *δήπου?*

11. L'orateur appelle les compositions de Sophron «poésies» (*ποίησιν*: cf. plus bas, 11, *Σώφρονα μίμους ἐπιγράφειν αὐτοῦ τὰ ποιήματα*), et Sophron lui-même un «poëte» (*τοῦ ποιητοῦ*, 9), bien que cet auteur n'ait pas écrit en vers. Cf. un scoliaste de saint Grégoire de Nazianze, chez Montfaucon, *Bibliotheca Coisliniana*, p. 120, *ἐν τούτῳ τῷ λόγῳ τὸν Συρακούσιον Σώφρονα μιμεῖται· οὗτος γὰρ μόνος ποιητῶν ῥυθμοῖς τισι καὶ κώλοις ἐχρήσατο ποιητικῆς ἀναλογίας καταφρονήσας.* (Henry Stevenson exprime l'opinion, dans la *Revue des Questions historiques* du 1er septembre 1876, à la page 496, que cette scolie pourrait bien être de Cosmas le Mélode.) Démétrios, *περὶ ἑρμηνείας*, 156, parle des «drames» de Sophron, *σχεδόν τε πάσας ἐκ τῶν δραμάτων αὐτοῦ τὰς παροιμίας ἐκλέξαι ἔστιν*(*). — «*Schon* »*Aristoteles* (bei Athen. XI, p. 505. c. vgl. *Poet.* I, 8) *sagte dass jene Mi-* »*men* ungeachtet ihrer Prosa dem Geiste, nicht der Form nach *für Dich-* »*tungen zu halten seien.*» (Witzschel, à l'article *Mimus* de la *Real-Encyclopädie* de Pauly). Il nous semble, comme à Dobree, qu'on fait dire ici à Aristote ce qu'il n'a pas dit: voy. P. P. Dobree, *Adversaria critica*, t. II, p. 336-337, Scholefield (= t. III, p. 117, Wagner).

12. Ici, à la marge du manuscrit, *σημείωσαι.* — Chorikios aime à désigner d'abord les auteurs illustres dont il parle par le nom de leur père, puis à les nommer eux-mêmes un peu plus tard: comp. au § XVIII la phrase sur Ménandre. C'est pourquoi nous pensons à supprimer *Πλάτωνα.*

13. *αὐταῖς* Ms.

14. Cf. Diogène Laërce, III, 1, 18, *δοκεῖ δὲ Πλάτων καὶ τὰ Σώφρονος τοῦ μιμογράφου βιβλία ἠμελημένα πρῶτος εἰς Ἀθήνας διακομίσαι καὶ ἠθοποιῆσαι πρὸς αὐτά· ἃ καὶ εὑρεθῆναι ὑπὸ τῇ κεφαλῇ αὐτοῦ*: Olympiodore, *Vie de Platon*, III, *ἡνίκα ἐτελεύτησεν εὑρεθῆναι ἐν τῇ κλίνῃ αὐτοῦ Ἀριστοφάνην καὶ Σώφρονα*: Athénée, *Banquet des Sophistes*, XI, p. 504 B, *καὶ ὁ τοὺς μίμους δὲ πεποιηκὼς οὓς ἀεὶ διὰ χειρὸς ἔχειν Δοῦρίς φησι τὸν σοφὸν Πλάτωνα*: Quintilien, I, 10, 17, «*Sophron..., mimorum quidem scriptor, sed quem Plato adeo probavit ut suppositos capiti libros ejus, cum moreretur, habuisse credatur*»; Valère Maxime, VIII, 7; Tzetzès; Suidas, etc. Schuster a discuté les sources d'où proviennent ces différents témoignages dans le *Rhein. Museum*, nouv. sér., t. XXIX, p. 610.

* *ἔστιν Rev. de Phil.; ἐστὶν* Spengel, *Rhet. graec.*, III, p. 297. H. G.

χῶν ἐραστὴν μιμεῖται μὲν ἄνδρας, μιμεῖται δὲ γύναια (15)· *φθέγγεται καὶ παιδίον αὐτῷ μήπω γινῶσκον ὀρθῶς οὐ μητέρα καλεῖν, οὐ πατέρα προσαγορεύειν* (16). [11] *Οἴεσθ' οὖν, εἰ τὸ μίμων ἄδοξον ἦν ἐπιτήδευμα, ἢ Σώφρονα μίμους ἐπιγράφειν αὐτοῦ τὰ ποιήματα ἢ Πλάτωνα τούτων ἐπαινέτην γενέσθαι ἢ τὸν Διόνυσον* (17), *ὥς φασιν,* [*τὸ θέατρον*] (18) *ἀνακεῖσθαι τούτοις αὐτοῦ τὸ τέμενος ἐπιτρέπειν* (19);

§ IV. *Ἀλλὰ βίος, φησί, τοῖς πλείοσιν ἀσελγὴς καὶ γέμων ἐπιορκίας, ὥστε, κἂν αὐτὸ μὴ θῶμεν φαῦλον εἶναι τοὐπιτήδευμα, τῷ βίῳ κακίζεται τῶν μετιόντων* (1). [2] *Τί γὰρ ὧν ἐπιτηδεύουσιν*

---

15. C'est une supposition généralement admise, mais erronée, que la division des *Mimes* de Sophron en *μῖμοι ἀνδρεῖοι* et *μῖμοι γυναικεῖοι* est du fait du grammairien Apollodore d'Athènes, qui vivait au second siècle avant notre ère. Cette division remonte plus haut, et probablement à Sophron lui-même ou à ses premiers éditeurs. Voy., en effet, le texte suivant de la *République* de Platon, l. V, p. 451 C, signalé par Richard Foerster (*Rheinisches Museum*, nouv. série, t. XXX [1875], p. 316: *τάχα δὲ οὕτως ἂν ὀρθῶς ἔχοι μετὰ ἀνδρεῖον δρᾶμα* (lire *μετὰ τἀνδρεῖον δρᾶμα*?) *παντελῶς διαπερανθὲν τὸ γυναικεῖον αὖ περαίνειν*. Schuster, dans le *Rhein. Museum*, t. XXIX, n. s., p. 610, croit reconnaître dans un passage du *Gorgias* de Platon (p. 493-494 A), l'esquisse de deux mimes de Sophron, l'un *ἀνδρεῖος*, l'autre *γυναικεῖος*.

16. Théocrite, dans les *Syracusaines* (Idylle XV), avait imité un mime de Sophron probablement intitulé *ταὶ θάμεναι τὰ Ἴσθμια*; on le sait d'une manière générale (voyez l'Introduction, p. 36), les éléments manquant du reste pour suivre la comparaison dans le détail. Il est intéressant de pouvoir se rendre compte, grâce à l'allusion que fait ici Chorikios à l'enfant du mime sophronien, que Théocrite avait dû suivre pas à pas le modèle qu'il s'était choisi. Voy. *Syracusaines*, vv. 11-14 et 40-41. — L'emploi de *οὐ* après *μή*, celui de *γινώσκω καλεῖν* dans le sens de *οἶδα καλεῖν*, sont l'un et l'autre à noter. Nous ne répondons point de la pureté du texte en cet endroit.

17. Cf. § XII, 7 et la note 5.

18. *ὥς φασι τὸ θέατρον* Ms.

19. Les mimes étaient représentés au théâtre. Voy. là-dessus Grysar, *Der Römische Mimus*, p. 40. Cf. le titre même de ce discours, *ὑπὲρ τῶν ἐν Διονύσου τὸν βίον εἰκονιζόντων*.

§ IV.] 1. Cf. Horace, *Satires*, I, 2, 55 et suiv., *Ut quondam Marsaeus, amator Originis ille,* || *qui patrium mimae donat fundumque Laremque,* || *«nil fuerit mi,» inquit, «cum uxoribus unquam alienis.»* || *Verum est cum* mimis, *est cum meretricibus, unde* || *fama malum gravius quam res trahit.* Les mauvaises mœurs des mimes sont attestées à toutes les époques: voy. p. ex. Plutarque, *Sylla*, 2 et 36; *Antoine*, 9 et 21; Cicéron, *Philippiques*, II, 22; 24; 25; 27; 39; *ad divers.*, IX, 26; *ad Attic.*, X, 10; Trebellius Pollion, *Gallien*, 8; *les Trente Tyrans*, 9; Vopiscus, *Aurélien*, 42 et 50; etc. Cf. encore le début de ce discours, et la note 4. Justinien (début de la *Novelle LI*) s'exprime dans les termes suivants au sujet de la condition d'actrice: *ἴσμεν πρῴην πεποιημένοι νόμον ἀπαγορεύοντα μηδενὶ παρρησίαν εἶναι τὰς εἰς σκηνὴν κατιούσας γυναῖκας ἐγγυητὰς εἰσπράττειν, ὡς προσεδρεύσουσι καὶ τὴν ἀσεβῆ πληρώσουσιν ἐργασίαν, μεταμέλου καιρὸν οὐκ ἔχουσαι*: et, quelques lignes plus bas, *ὡς οὐδέποτε παύσονται τῆς ἀσεβοῦς ἐκείνης καὶ ἀσχήμονος ἐργασίας*.

ἄνθρωποι πάντας ἔχει τοὺς μετιόντας ἀμέμπτους; [3] Δοκίμαζε πάσας, εἰ βούλει, τὰς τέχνας· τὴν ἀνιοῦσαν ἄχρι τῶν ἐν οὐρανῷ φαινομένων, τὴν οὐκ ἐῶσαν ἄβατον εἶναι τὴν τοῦ Ποσειδῶνος ἀρχὴν [αὐτούς μοι σκόπει τοὺς διδασκάλους τῶν λόγων, οἷς ἡ μὲν πρόσοδος ἀπὸ τοῦ σωφρονεῖν, τὸ δὲ ἐνδεὲς [fol. 153] ἐκ τῶν ἐναντίων], τὰς βαναύσους, τὰς ἐπαγγελλομένας εὐφραίνειν, τὰς εἰς ὄνησιν εὑρημένας, τὰς ὠφελείᾳ καὶ τέρψει συγκεκραμένας. [4] Τίνα τούτων ὁρᾷς ἀνεγκλήτους ἅπαντας ἔχουσαν τοὺς αὐτῇ κεχρημένους; [5] Καλῶ τοίνυν αὐτὰς ἐνταῦθα πρὸς συμμαχίαν· δεῦρό μοι ἥκετε πᾶσαι καί μοι συλλάβεσθε τοῦ πρὸς τοῦτον ἀγῶνος, πολλοὺς μὲν αὐτῆς ἑκάστη καταλέγουσα μαθητάς, ὁμολογοῦσα δὲ τούτων ἐνίους ἐπιόρκους εἶναι καὶ νοσεῖν (2) ἀκρασίαν. [6] Τί οὖν, ὦ θαυμάσιε, δράσωμεν; ὥρα (3) γὰρ ἢ πάσας ἀτίμως ἐκ τῶν πόλεων ἐκκηρῦξαι — οὐδεμία γὰρ ἅπαντας ἕξει τοὺς φοιτητὰς ἀναμαρτήτους δεικνύναι — ἢ μηδὲ τῶν μίμων φαυλίσαι τὴν ἐπιτήδευσιν παρὰ τὴν τῶν ἐν αὐτοῖς οὐ σωφρονούντων κακίαν. [7] Εἰ μὲν γὰρ ὁ τῆς τέχνης ἀπῄτει σκοπὸς ἐπιορκεῖν τε καὶ ἀκολασταίνειν, ἦν ἂν τελέως ἀμήχανον μῖμον ὀφθῆναί τινα τούτων ἀπηλλαγμένον (4)· ἐπεὶ δὲ καὶ πονηρίαν ἔνεστι φεύγειν καὶ τὸ πρᾶγμα διώκειν, αὐτὴν ἂν οἶμαι πρὸς σὲ τὴν τέχνην εἰπεῖν, εἴ ποθεν λάβοι φωνήν· « πλείστην ἔχω σοι χάριν ὅτι τῶν ἐν διαβολῇ με ποιούντων μίμων κατηγορεῖς. »

§ V. Ταῦτά μοι δοκῶ (1) λεγούσης ἀκούειν ἐκείνης. [2] Εἶναι μὲν γὰρ ἔνια τῶν τελουμένων (2) παιγνίων ἐν οἷς ἐπιορκία τις ἐστὶν, οὐκ ἀντιλέγω· οὐ μὴν διὰ ταῦτα φαίην ἂν αὐτὸ χρῆναι τὸ πρᾶγμα κακίζειν, ἀλλὰ μὴ δεῖν ὅλως ἄγεσθαι ταῦτα. [3] Ἐπεὶ καὶ τῶν συγγραμμάτων ὅσα τοῖς κορυφαίοις εἴρηται (3) τῶν ποιητῶν ὅσα τε τοῖς ἀρίστοις εἴργασται τῶν ῥητόρων ἔστιν ἃ παν-

---

2. Cf. § XV, 9, ἑκατέρου νοσήματος ἀπηλλάχθαι (c'est-à-dire n'être ni gourmands ni ivrognes).

3. ὦ̊ρα Ms. Cf. Lucien, *Jugement des voyelles*, § 6, p. 90, ὥρα λέγειν, et les nombreux exemples de cette locution chez Lucien indiqués dans le *Lexicon Lucianeum* de Reitz au mot ὥρα.

4. Cf. § VI, 2, παίγνιον ... πάθους ἀπηλλαγμένον τοιούτου: § XI, 2, πάσης αἰσχύνης ἀπηλλαγμένα: § XIV, 2, οὐδένα δὲ ῥᾴδιον ἀμφοῖν (c'est-à-dire ὀργῆς τε καὶ λύπης) ἀπηλλάχθαι: et ci-dessus note 2.

§ V.] 1. δοκεῖ Ms.

2. Cf. § XIII, 6, τῶν ἐπὶ σκηνῆς τελουμένων παιγνίων: § VIII, 5, τελεῖται μὲν (θέαμα μίμων) ἐν βασιλείοις: Saint Jean Chrysostome, *Homélie* 3e *sur David*, t. IV, p. 770 E, Montfaucon, τελεῖται δράματα. — Cf. aussi ci-dessous, § XII, 4, τῆς τὸν ἀγῶνα τελούσης ἡμέρας: 7, θεῶν πανηγύρεις οἱ μὲν ἁγίως τελοῦσιν.

3. Il paraît vraisemblable que les mots εἴρηται et εἴργασται (plus bas dans la même phrase) ont pris la place l'un de l'autre. (Tournier.)

τάπασιν ἀποδοκιμάζομεν, ὡς μὴ (4) *παραδιδόναι τοῖς νέοις, αὐτῶν τε τῶν κεκριμένων ἐστὶν ἅπερ οὐκ ὀρθῶς εἰρῆσθαί φαμεν. Οἷον, ἵνα σοι τὸ τῆς ἐπιορκίας λύσωμεν ἔγκλημα, τίς οὐκ ἂν ῥᾳδίως τῶν ἐρώντων ἐπιορκήσειε*

τοὺς (5) *ἐν ἔρωτι*
ὅρκους (*ἀκούων*) *μὴ δύνειν οὔατ' ἐς ἀθανάτων,*

ἑτέρου (6) *τε λέγοντος ποιητοῦ*

μὴ δείμαινε θεοὺς ἐράων ἢν ψεῦδος ὀμόσσῃς(7);

[4] *Ἀλλ' οὔτε μισόλογος οὕτως οὐδεὶς ὡς τούτων γ' ἕνεκα τὴν τῶν λόγων ἀφανίσαι παιδείαν, οὔτε γέλωτι τοσοῦτον οὐδείς ἐστι πολέμιος ὡς ἕνεκα παιγνίων εὐαριθμήτων ἐν οἷς ἐστιν ἐπιορκία τὸ τῶν μίμων ἐπιτήδευμα καταλῦσαι.* [5] *Εἰ δέ μοι τοσοῦτον ἐξῆν ὅσον ὀνόματα βασανίζειν, οὐκ ἂν ὤκνησα λέγειν ὡς οὐδ' ἔνεστιν ὅλως ἐπιορκίας μίμησιν εἶναι.* [6] *Τῶν μὲν γὰρ ἄλλων ὅσα ποιοῦσιν ἢ φθέγγονται μῖμοι, τὰ μὲν σχήμασιν ἔνι, τὰ δὲ λόγοις μιμεῖσθαι* (8) · *κἂν ἰατρὸν ἢ ῥήτορα σχηματίσηται μῖμος ἢ μοιχὸν ἢ δεσπότην ἢ δοῦλον, μιμεῖται μὲν ἅπαντα, γίνεται δὲ τούτων οὐδέν· τὰ δὲ ψευδῆ διομνύμενος, αὐτὸ τῆς ἐπιορκίας ὑπομένει τὸ πάθος.* [7] *Οὐκ ἄν, ἀκριβεῖ λόγῳ, μῖμος ἐπιορκήσειεν ἄν, εἰ μὴ τὴν προσηγορίαν ἀρνοῖτο τοῖς ἔργοις*(9). [8] *Αὐτὸς δή μοι λόγος καὶ πρὸς τὸ μὴ χρῆναί* (10) *τι βλάσφημον λέγειν εἰρήσθω· οὐδὲν γὰρ ἧττον καὶ τοῦτο πρᾶξίς ἐστιν, οὐ μίμησις.* [9] *Εἰ δέ τις ἄρα μὴ τῆς αὐτοῦ τέχνης τὸν νόμον φυλάττων, μήτε* (11) *τοῦ λόγου τὸν ἔλεγχον αἰσχυνόμενος, ἐπιορκίᾳ*

---

4. Peut-être vaudrait-il mieux *μηδὲ*.
5. Callimaque, *Épigrammes*, 26, 3-4. Au lieu de *οὔατ'*, que portent avec raison les éditions de Callimaque, *ουας* Ms.
6. Nous ignorons quel est ce poëte.
7. Rien de plus commun que l'expression de cette pensée dans la littérature grecque. Cf. le scoliaste de Platon, sur le *Banquet*, p. 183 B, *Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος, ἐπὶ τῶν δι' ἔρωτα ὀμνυόντων πολλάκις καὶ ἐπιορκούντων· μέμνηται δὲ ταύτης καὶ Ἡσίοδος λέγων*

ἐκ τοῦδ' ὅρκον ἔθηκεν ἀμείνονα (?) *ἀνθρώποισι*
νοσφιδίων ἔργων περὶ (lire *πέρι*?) *Κύπριδος*:

Diogénien, III, 37, au tome Ier des *Paroemiographi Graeci* de Leutsch et Schneidewin, et la note des éditeurs. Tibulle a dit de même: *perjuria ridet amantum* || *Juppiter;* Publilius Syrus, *Sentences*, 22 (édit. Orelli), *amantis jusjurandum poenam non habet.*
8. Lire: *τῶν μὲν γὰρ ἄλλων* (masculin) *ὅσα ποιοῦσιν ἢ φθέγγονται, μίμοις* (ou *μίμῳ*) *τὰ μὲν σχήμασιν ἔνι, τὰ δὲ λόγοις μιμεῖσθαι*? (Tournier.)
9. «S'il ne renie (ne cesse de justifier) son nom par ses actes;» en d'autres termes: «tant qu'il ne fait autre chose que *μιμεῖσθαι*.»
10. *πρός τ'* [*μὴ*] *χρῆναι*? (Tournier.)
11. Il n'est peut-être pas nécessaire de remplacer ici *μήτε* par *μηδὲ*: voy. Tournier, *Exercices critiques*, n° 380. — L'argumentation de Chorikios est aussi obscure que subtile.

τε χρήσεται καὶ ὀλίσθημα ἐξεῖναι τολμήσαι φωνήν, ἔξω μοι τοῦ χοροῦ τετάχθω (12) τῶν μίμων. [10] Τίς οὖν ἔτι λοιπὸν (13) ἔσται σοι πόρος διαβολῆς; εἰ γὰρ ἅπαξ ὡς ἀληθῶς τὸ πρᾶγμα ὀκνοῦν ἐπεφήνει, οὔτε τῶν μετιόντων ἐλευθέρως ἄν τις ὤφθη κακίας καὶ (14) τῶν ἐν μουσείοις (15) καλῶς τεθραμμένων οὐδεὶς ἂν τοῦτ' ἀσκήσας ἐφάνη (16)· νῦν δ' ὁρᾷς ὅπως τῶν φύσει κακῶν οὐκ ἔστιν οὐδὲν ἐνὸς μετελθεῖν ἀγαθόν. ἱεροσυλίαν, προδοσίαν, μοιχείαν. ἀλλὰ δ' ἴσα τοῖς πράττουσιν ἐναντέλλονται δίκας οἱ νόμοι;

§ VI. Ἀλλὰ γὰρ μοιχείαν ἀκούσας οὐ συγχωρεῖν ἔοικάς μοι τῷ λόγῳ προβαίνειν, ἑτέρας ἐντεῦθεν εὑρεῖν κατηγορίας λαβήν. [2] Ἐρεῖς γὰρ οὐδέν, ὡς εἰπεῖν, αὐτοῖς παίγνιον εἶναι πάθους ἀπηλλαγμένον (1) τοιούτου, ὥστε τὸν θεατήν, καὶ μάλιστα τὸν ἐν ἡλικίᾳ, τῶν ἡδονῶν εἰς [illegible] ἔρωτα πίπτειν, διαφθαρέντος τοῦ λογισμοῦ τοῖς ὁρωμένοις (2). [3] Ἀλλ' ἤνικα μοιχείαν, ὦ

12. Cf. § II, 2 τοὺς ἐν ἔργῳ μιμικῆς τοῦ χοροῦ τεταγμένους.

13. σοὶ λοιπὸν est assez fréquent dans la décadence de la langue grecque. Voy. p. ex. Didyme d'Alexandrie, dans la *Patrologie grecque* de Migne, t. XXXIX, col. 478 A. [illegible] et les autres exemples signalés chez Sophocles, *Greek Lexicon of the Roman and Byzantine periods*, au mot λοιπός.

14. οὔτε — καί, rare. Cf. cependant Euripide, *Iphigénie en Tauride*, 591-2, Weil. Σὺ δ' εἰ γάρ, ὡς ἔοικας, οὔτε δυσγενὴς | καὶ τὰς Μυκήνας οἶσθα γ'.

15. μουσεῖα, sortes d'établissements d'enseignement supérieur, dont le célèbre *Musée d'Alexandrie* avait fourni le modèle. Voyez les textes indiqués au Thesaurus-Didot, à l'article μουσεῖον, et Philostrate, *Vies des Sophistes*, I, 21, 8 p. 516 Olear. [illegible] τῆς Ἰωνίας οἷον μουσεῖον [illegible] Σμύρνα. On s'étonne qu'il ne soit pas du tout question des μουσεῖα dans le livre de J. H. Krause, *Geschichte der Erziehung, des Unterrichts und der Bildung bei den Griechen, Etruskern und Römern.*

16. Voy. § I, 5, § XIII, 2 et § XI, 12-14, où il est question de représentations données par des amateurs appartenant à la bonne société.

§ VII. 1. Cf. § IV, 7, μῖμον... τούτου ἀπηλλαγμένου, et la note afférente à ce passage.

2. Cf. Lactance, *Instit. de vero cultu*, 6, 20 : « quid de mimis loquar corruptelarum praeferentibus disciplinam, qui docent adulteria, dum fingunt, et simulatis erudiunt ad vera? quid iuvenes aut virgines faciant, quum haec et fieri sine pudore et spectari libenter ab omnibus cernunt? » Donat. *ad Virg. Aen.*, 5, 64 : « in mimis solis [illegible] et adulteris placent; per illos enim discitur, quemadmodum illicita fiant aut facta noscantur. » Saint Jean Chrysostome, *Homélie 8 sur l'Épître* [illegible], t. IV, p. 770 E, Montf., où [illegible] ὀφθαλμοῖς [illegible] βλέπων. [illegible] On trouvera réunis chez Grysar, *Der Römische Mimus*, p. 18 et suiv., un certain nombre de textes, datant des quatre premiers siècles après J.-C., qui établissent que le thème ordinaire des pièces dites mimes était la représentation de l'adultère. Sur l'immoralité de ces pièces, cf. aussi Teuffel, *Geschichte der Römischen Literatur*, 8, 3.

βέλτιστε, θεωρεῖς, τότε καὶ δικαστήριον ὁρᾷς ἀρχικὸν (3), καὶ κατηγορεῖ μὲν ὁ τῆς ἑαλωκυίας ἀνὴρ, κρίνεται δὲ μετὰ τῆς ἐρωμένης [fol. 154] ὁ τὴν μοιχείαν τολμήσας, ἀπειλεῖ δὲ τιμωρίαν ἀμφοτέροις ὁ δικαστής(4)· ἐπεὶ δ' ὅλον παιδιά τις ἐστὶ τὸ χρῆμα, τὸ πέρας αὐτοῖς εἰς ᾠδήν τινα καὶ γέλωτα λήγει (5). [4] Πάντα γὰρ εἰς ἀναψυχὴν μεμηχάνηται καὶ ῥᾳστώνην, καί μοι δοκῶ τὸν Διόνυσον(6), φιλόγελως γὰρ ὁ θεὸς, τὴν ἡμετέραν ἐλεήσαντα φύσιν — ἄλλαι γὰρ ἄλλους ἀνιῶσι φροντίδες, τὸν μὲν (7) παίδων ἀποβολὴ, τὸν δὲ πένθος γονέων, ἕτερον θάνατος ἀδελφῶν, ἄλλον χρηστῆς γυναικὸς τελευτὴ, πολλοὺς ἔνδεια δάκνει χρημάτων, πολλοὺς ἀτιμία λυπεῖ —, δοκῶ δή (8) μοι ταῦτ' ἐκεῖνον οἰκτείραντα τῶν ἀνθρώπων τοῖς εὐτραπέλοις τοιαύτην ἐμβαλεῖν ἐπιτήδευσιν, ὅπως ταύτῃ παραμυθοῖντο τοὺς ἀθύμως διακειμένους· ὅθεν αὐτὸν ἐπήρετο μὲν ὁ θεράπων κατὰ τὴν τοῦ κωμικοῦ μαρτυρίαν(9) εἴ τι λέγοι «τῶν εἰωθότων ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι», ὁ δὲ «νὴ (10) τὸν Δί' ὅ τι βούλει γε» εἶπεν· οὕτως εὔχαρις ὁ θεὸς καὶ φιλανθρωπίᾳ προσκείμενος, ὡς ἐκ παντὸς ἐπιτρέψαι γέλωτα γίνεσθαι τρόπον. [5] Πλὴν ἐπειδὴ σχῆμα μοιχείας ὅλον δοκεῖ σοι τὸ θέατρον εἰς αἰσχρὰν ἕλκειν ἐπιθυμίαν, ἐκεῖνό σε παρατηρεῖν ἀξιῶ· οὐδεὶς, ὡς ἔπος εἰπεῖν, ἐν μίμων παιγνίοις μοιχεύσας διέλαθεν, ὥστε προτρέπουσι ταύτῃ τὸν θεατὴν εὐκοσμίας ἐπιμελεῖσθαι· ἀσκεῖ (11) γὰρ τὸ σεμνὸν ἔνθα τὸ φαῦλον

---

3. ἀρχικόν = τοῦ Ἄρχοντος. La plupart des gouverneurs de provinces sous Justinien, étaient désignés par le titre de ἄρχοντες. Voy. là-dessus l'introduction de l'*Éloge d' Aratios*, p. 8, et la note 3.

4. Comp. la scène retracée au § VII, 8 - 10.

5. Cf. saint Jean Chrysostome, *Homélie 6e sur saint Matthieu*, t. VII, p. 101 A, Montf., γέλως πολὺς, μοιχείας τολμωμένης τοσαύτης, καὶ κραυγὴ καὶ κρότοι. C'était une loi du genre que la pièce finît gaiement.

6. Cf. § XII, note 5, concernant la mythologie de notre orateur.

7. τῷ (ὃν) μὲν Ms., et de même ensuite τῷ (ὃν) δὲ.

8. δὲ Ms. — Notez la construction δοκῶ μοι τὸν Διόνυσον pour δοκεῖ μοι ὁ Διόνυσος.

9. Aristophane, *Grenouilles*, début:

ΞΑΝΘΙΑΣ. Εἴπω τι τῶν εἰωθότων, ὦ δέσποτα,
ἐφ' οἷς ἀεὶ γελῶσιν οἱ θεώμενοι;
ΔΙΟΝΥΣΟΣ. Νὴ τὸν Δί' ὅ τι βούλει γε κτλ.

10. ὁ δὲ «νὴ] οὐδὲν ἢ Ms.

11. ἀρέσκει? (Weil.) ἀσκεῖται? — Fragment οη' chez Boissonade, p. 296: ἄσκει τὸ σεμνὸν ἔθος· τὸ φαῦλον ἀλίσκεται. Une note avertit que l'édition de Macarios Chrysocéphale, d'où ce fragment est tiré, porte ἄσκει τὸ σεμνὸν, ἔθα, et que Villoison avait proposé de corriger ἄσκει σεμνὰ ἤθη. Dans les *Addenda et Corrigenda*, Boissonade, revenant sur ce passage, dit: «Non ipse meam lectionem pro certissima propono. Corrupta vox ἔθα ducit ad proximum ἔνθα. Sed si ἔνθα scribatur, consilium erit pravum.» — *Nota*. «Fragmenta οη'-πβ' excerpsit Macarius Roseto apud Villoiso-

[illegible] [illegible] Τ[illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]-ναντ [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible], ὡς [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]-ντα [illegible] [illegible] [illegible] [illegible]. [illegible] [illegible] [illegible]. [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] περιμεί-νας [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] ἐξ [illegible] ἢ [illegible] [illegible] [illegible] [illegible] [illegible] ἦθος [illegible] [illegible] [illegible]. [illegible] [illegible] [illegible] [illegible] ἐπαγγέλλειν (15) [illegible] [illegible] [illegible] [illegible] Ἑλ[illegible] (16) ἣν [illegible] πρὸς γάμον [illegible] ἡ [illegible] [illegible] [illegible] [illegible] [illegible] Κλυταιμή-στραν ἣν [illegible] [illegible] [illegible] ἢ [illegible] [illegible] [illegible] ἣν Ἥλιος ἔσπειρεν, ἣν [illegible] [illegible] ἣν [illegible] [illegible] [illegible] Καὶ τί σοι μοιχευθείσας [illegible] [illegible] . . . . (17) ἔσχηκεν ἀδελφὴν καὶ τὴν [illegible] [illegible] [illegible] [illegible] [illegible]· [6] Οἰδί-πους ἐπιχειρῶν τῇ [illegible] καὶ τῶν αὐτῶν ⟨ἀδελφὸς⟩ ἅμα (18) καὶ πατὴρ [illegible]. [illegible] [illegible] [illegible] [illegible] παραβάλλειν ἔνεστιν ὅλως ἕτερον, [illegible] [illegible] [illegible] [illegible] καὶ [illegible] [illegible] ἀκοσμίας ἐλλελοιπότα (19). [11] [illegible] [illegible] [illegible] [illegible] δὲ μίμησις. [12] Εἶεν· τοῖς Ὁμήρου δὲ [illegible] [illegible] [illegible], ⟨ἐν⟩ οἷς τετόλμη-ται μοιχεία θεῶν, Ἄρης τὴν Ἡφαίστου [illegible] εὐνὴν καὶ ταῖς ἐκείνου μηχαναῖς ἐμπεσών (20); [13] Εἶτα μειράκια μὲν ἀπαγγέλ-λειν (21) ἐκεῖνα παρασκευάζομεν καὶ τοσαύτην ποιούμεθα τούτου σπουδὴν ὡς τὸν ἀμελοῦντα τοῖς κατὰ τὸν ποσειδῶν † σωφρονί-ζειν πληγαῖς (22), ἀνδράσι δὲ καὶ παιδίοις καὶ πρεσβύταις καὶ

---

num Diatriba, p. 67, ἐκ τοῦ λόγου πρώτου τοῦ ὑπὲρ τῶν ἐν Διονύσῳ (sic) τὸν βίον εἰκονιζόντων, ἢ τοῦ ὑπὲρ τῶν μίμων.» (Boissonade, note 8 de la page 296.)

12. θεασόμενος?

13. L'habitude de quitter sa place avant la fin du spectacle remonte, comme on voit, à l'antiquité.

14. ἡ γὴ διαστρέφειν (sic) Ms. — Cf. § VII, 3, εἰ τὴν θέαν ἦθος ᾤετο διαφθείρειν.

15. Cf. 13, μειράκια μὲν ἀπαγγέλλειν ἐκεῖνα παρασκευάζομεν: 16, ἀπαγγε-λία δὲ μέτρον ἔχουσα καὶ ῥυθμὸν βεβαίαν ἐντίθησι μνήμην: § X, 13, τοὺς παῖδας οἱ φύσαντες... δράματα κωμικὰ παρασκευάζουσιν ἀπαγγέλλειν: § XV, 8, ἤδη δὲ τῆς σκηνῆς ἐξιόντας ἀπαγγέλλειν τοὺς ἑωρακότας τοῖς οὐ τεθεαμένοις.

16. Peut-être τὴν Ἑλένης, et plus bas τὴν Κλυταιμνήστρας, τὴν Πασιφάης.

17. Il doit falloir suppléer quelque chose comme <Τηρεὺς τῆς αὐτοῦ γυναικὸς> ou <Τῆς ἰδίας συνοίκου Τηρεὺς>.

18. καὶ τῶν αὐτῶν ἄσμα (ce dernier mot a été biffé) || ἅμα, et, à la marge, αὐτοῦ τέκνων (le tout de première main, à ce qu'il semble) Ms.

19. ἐλλελοιπότα?

20. ἐκπεσών Ms.: ἐμπεσών Weil.

21. Cf. ci-dessus, 8, et la note 15.

22. Lire: ὡς τὸν ἀμελοῦντα ⟨χαληθινωτά?⟩ταις, καὶ μὰ τὸν Ποσειδῶ, σωφρονίζειν πληγαῖς? (Tournier.)

νέοις μίμους θεωμένοις (23) *μεμψόμεθα;* [14] *Καὶ μὴν ἡ τοῖς τοιούτοις συγγράμμασιν ὁμιλοῦσα νεότης αὐτὸ τῆς ἡλικίας ἐστὶ τὸ σφαλερώτατον καὶ μάλιστα πρὸς ἐπιθυμίαν εὐάγωγον · ἀλλ' ἴσμεν ὅτι παίγνια ταῦτα.* [15] *'Αλλ' ἀκοῆς ὀφθαλμοὶ δρῶσί τι πλέον* (24); [16] *'Αλλὰ τὰ μὲν θεωρήσαντες μόνον ἀπέρχονται καί τις μικρὸν* (25) *ὕστερον γίνεται λήθη · ἀπαγγελία* (26) *δὲ μέτρον ἔχουσα καὶ ῥυθμὸν βεβαίαν ἐντίθησι μνήμην.* [17] *Οὔκουν ἀνάγκη πᾶσαν διαγράψαι ποιητικήν, εἰ τοῖς τῶν ἐντυγχανόντων λυμαίνεται τρόποις;* [18] *'Αλλὰ μὴ ῥᾳδίως οὕτως ἐξολισθαίνειν ἡγοῦ σώφρονα φύσιν, ὡς ὑπὸ μίμων ἢ δραμάτων ἢ μύθων ἐπὶ πορνείαν αὐτομολεῖν.* [19] *Σάτυρον δὴ* (27), *οἶμαι, τὸν κωμικὸν ἀκούεις ὑποκριτήν, τοὺς δὲ κωμικοὺς ὑποκριτὰς* (28) *οὐκ ἂν ἁμάρτοις μίμους καλῶν 'Αττικούς.* [20] *'Επεὶ οὖν* (29) *εἷλεν Ὄλυνθον Φίλιππος, ἑορτὴν ἦγεν Ὀλύμπια, καὶ πάντας μὲν τοὺς τεχνίτας εἱστία, στεφάνοις δὲ τοὺς νενικηκότας ἐτίμα.* [21] *Ἧκεν οὗτος ὁ Σάτυρος, καὶ ἦν τῶν ἑστιωμένων, εἰ δὲ τῶν νενικηκότων, οὐ τοῦτό με Δημοσθένης ἐδίδαξε* (30). [22] *Φιλίππου δὲ* (31) *πυθομένου τί δή, τῶν ἄλλων αἰτούντων ὅ τι* [fol. 155] *βούλοιθ' ἕκαστος, μόνος οὐδὲν ἐπαγγέλλεται, « οὐ μικροψυχίαν, ἔφη, σοῦ τινα καταγνούς — ἡ γάρ σοι τῶν δωρεῶν πολυτέλεια πρέπουσά ἐστι βασιλεῖ* (32) *καὶ Ὀλυμπίων ἀγῶνι — · δέδοικα μέντοι μὴ διαμάρτω.»* [23] *Ἠρέθισε ταῦτ' εἰπὼν τὴν ἐκείνου φιλοτιμίαν, ὥστ' οὐδ' ἀπώκνησεν, ὅτου ἂν αἰτήσῃ τυχεῖν, ὑποσχέσθαι διδόναι · ὁ δὲ δωρεὰν ᾔτησε ζημίαν αὐτῷ προξενοῦσαν.* [24] *Τῆς γὰρ 'Απολλοφάνους φιλίας οὐδὲ τεθνεῶτος ἐπελανθάνετο, τὰς ἐκείνου δὲ θυγατέρας — καὶ γὰρ ἔτυχε ταύτας αἰχμαλώτους Φίλιππος ἔχων —*

---

23. *θεωμένους* Ms.

24. A la marge, *σημείωσαι.* — Cf. Hérodote, I, 8, *ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν*: et Horace, *Art Poétique*, 180-181, « *Segnius irritant animos demissa per aurem* || *quam quae sunt oculis subjecta fidelibus et quae* || *ipse sibi tradit spectator.* »

25. *καί τι σμικρὸν* Ms. — Peut-être faut-il écrire *καὖθις μικρὸν.*

26. Cf. ci-dessus, 8, et la note 15.

27. *δὲ* Ms.

28. *ὑποκριτὰς*] *ποιητὰς* Ms.

29. Cf. Démosthène, *Ambassade*, §§ 192 et suiv., p. 401-402, *ἐπειδὴ γὰρ εἷλεν Ὄλυνθον Φίλιππος, Ὀλύμπι' ἐποίει κτλ.*

30. En effet, Démosthène dit seulement, *l. c.*, *ἑστιῶν δ' αὐτοὺς* (c.-à-d. *πάντας τοὺς τεχνίτας*) *καὶ στεφανῶν τοὺς νενικηκότας ἤρετο Σάτυρον τουτονί, τὸν κωμικὸν ὑποκριτὴν κτλ.*

31. *δὴ* Ms. (*δὴ* provient de *τί δή*, ci-après).

32. *ἡ γάρ σοι τῶν δ. π. π. ἐ. βασι* (λ suscrit) Ms. Faudrait-il *ἡ γάρ σου τῶν δωρεῶν πολυτέλεια πρέπουσά ἐστι βασιλεῖ?* Il est vrai que la faute ne se comprendrait guère ainsi. Il serait peut-être plus satisfaisant d'écrire *σοὶ γὰρ ἡ τῶν δ. π. π. ἐ., βασιλεῦ, καὶ Ὀλυμπίων ἀγῶνι.*

ἠξίου λαβεῖν, ἐπαγγειλάμενος, εἰ λάβοι, προῖκα προσθεὶς ἐκδιδόναι· ἤδη γὰρ ἀνδρὸς ἦσαν ὡραῖαι. [25] *Ἐκρότησε μὲν τὸ συμπόσιον ἅπαν· ἐπλήρωσε δὲ τὴν ὑπόσχεσιν Φίλιππος, συναλγήσας μὲν ταῖς κόραις, θαυμάσας δὲ Σάτυρον, ἐπαρθεὶς δὲ τῷ κρότῳ.* [26] *Οὕτως ἔνι κωμικὸν* (33) *εἶναι τὴν τέχνην, ἐγκρατῆ δὲ τὴν γνώμην.* [27] *Ἀλλὰ γὰρ Σάτυρος ὁ τῆς κωμῳδίας οὗτος ὑποκριτὴς τῶν Σοφοκλέους ἀνέμνησέ με σατύρων, οὓς ἐκεῖνος εἰσήγαγεν οὕτω πρὸς ἀσέλγειαν μεμηνότας, ὥσθ' ὅ γ' Ἀριστείδης, οὓς* (34) *λοιδορεῖ φιλοσόφους καὶ πλείστῃ φησὶν ἀκολασίᾳ συζῆν, τοῖς Σοφοκλέους ἀπεικάζει σατύροις*(35). [28] *Ἀλλ' ὅμως οὐδεὶς ᾐτιάσατο Σοφοκλέα τοὺς θεατὰς ἀκρατεῖς καταστῆσαι.*

§ VII. *Ὡς τοίνυν οὐ μόνον ἀβλαβὴς τοῖς θεωμένοις ἡ τῶν μίμων ἐστὶν ἐπιτήδευσις, ἀλλ' οὐδὲ βλάβης ὑπόνοιαν ἔχει παρὰ τοῖς εὖ φρονοῦσιν ἡ πεῖρά σοι λέγει.* [2] *Παννυχίζει μὲν γὰρ πολλάκις ἡ πόλις· ἀνέῳκται δέ, παρόντων ἀνδρῶν, γυναιξὶ καὶ παρθένοις* (1) *τὸ θέατρον* (2), *οὐ μόνον ταῖς εἰς ὄχλον τελούσαις, ἀλλὰ καὶ ταῖς ἐν μέσῳ τεταγμέναις τῆς τύχης, καὶ ναὶ μὰ Δία*(3)

---

33. *κωμικὸν ⟨μὲν⟩ εἶναι?*
34. *οὓς*] *οὐ* Ms.
35. «*Ἑλένης γάμος* (*Σατυρικός*). Aristides, vol. II, p. 307 (cujus verba repetivit Photius Bibl., p. 438, 6), *αὐτὴν μὲν γὰρ ἐὰν ἴδωσι τὴν Ἑλένην, Ἑλένην λέγω; θεράπαιναν μὲν οὖν ὁποίαν ἐποίησε Μένανδρος τὴν Φρυγίαν, τῷ ὄντι παιδιὰν ἀποφαίνουσι τοὺς σατύρους τοῦ Σοφοκλέους.* Satyri igitur hujus dramatis, ut monet Nauckius, quum Helenam conspexerunt, turpi libidine inflammantur.» (G. Dindorf, *Poet. scenic. graec.*, ed. V, *Σοφοκλ. ἀποσπάσμ.*, p. 130.)

§ VII.] 1. Sur la présence des jeunes filles et des femmes à ces représentations, cf. Tertullien, *De spectaculis*, § 21, édit. Klussmann (1877), «*ut et qui filiae virginis ab omni spurco verbo aures tuetur, ipse eam in theatrum ad illas voces gesticulationesque deducat*» etc.: et Lactance cité dans la note 2 du § VI. De même Plutarque, *Problèmes symposiaques*, VII, 4, 4, p. 712 E, (il vient de dire qu'on divisait les mimes en *ὑποθέσεις* et en *παίγνια*: voy. ci-dessous § VIII, note 11), *τὰ δὲ παίγνια, πολλῆς γέμοντα βωμολοχίας καὶ σπερμολογίας, οὐδὲ τοῖς τὰ ὑποδήματα κομίζουσι παιδαρίοις — ἅ γε δὴ* (lire *ἂν* au lieu de *δή*?) *δεσποτῶν ἢ σωφρονούντων — θεάσασθαι προσήκει· οἱ δὲ πολλοὶ καὶ γυναικῶν συγκατακειμένων καὶ παίδων ἀνήβων ἐπιδείκνυνται μιμήματα πραγμάτων καὶ λόγων ἃ πάσης μέθης ταραχωδέστερον τὰς ψυχὰς διατίθησιν.*

2. Remarquez que ces représentations avaient lieu après le coucher du soleil. Cf. § XIII, 2, *τὴν ἔναγχος θέαν . . . ἐν πανηγύρει δημοτελεῖ νύκτωρ ἀχθεῖσαν.* On pourra comparer, dans l'*Éloge de Marcien*, I, p. 100 et suiv., Boissonade, la description d'une fête où il est question de bals de nuit avec illuminations. Cf. Hérodien, V, 6, 6, *πανηγύρεις τε παντοδαπὰς συνεκρότει, ἱπποδρόμους τε κατασκευάσας καὶ θέατρα διά τε ἡνιοχείας καὶ παντων θεαμάτων καὶ ἀκουσμάτων πλείστων εὐωχούμενον τὸν δῆμον καὶ παννυχίζοντα εὐφραίνειν ᾤετο.*

3. Cf. § XII, 7, note 5.

πολλαῖς εὐγενείας (4) *τε καὶ πλούτου φερούσαις τὰ πρῶτα· κοὔτε κόρην πατὴρ οὔτε σύνοικον ἀνὴρ ἀποτρέπει.* [3] *Τίς δ' οὐκ ἂν διεκώλυεν, εἰ τὴν θέαν ἦθος ᾤετο διαφθείρειν* (5); [4] *Εἰ δὲ μέμφῃ τοὺς ἄνδρας ὅσοι προϊέναι καὶ θεωρεῖν ταῖς αὐτῶν ἐνδιδόασι γυναιξὶν, ὑπολαμβάνων, εἰ τὴν οἰκίαν αὐταῖς δεσμωτήριον καταστήσεις, μεγίστην εἶναι φρουρὰν σωφροσύνης, τραγικὴν ἄκουε ῥῆσιν ἐναντία σοι λέγουσαν* (6)·

> *τὸ μὲν μέγιστον οὔποτ' ἄνδρα χρὴ σοφὸν*
> *λίαν φυλάσσειν ἄλοχον ἐν μυχοῖς δόμων·*
> *ἐρᾷ γὰρ ὄψις τῆς θύραθεν ἡδονῆς,*
> *ἐρᾷ δ' ἀκούειν ὧν φυλάττεται κλύειν* (7),
> *ἐν δ' ἀφθόνοισι τοῖσδ' ἀναστρωφωμένη* (8)
> *βλέπουσά τ' εἰς πᾶν* (9) *καὶ παροῦσα* (10) *πανταχοῦ,*
> *τὴν ὄψιν ἐμπλήσασ' ἀπήλλακται κακῶν.*

[5] *Ἀκούεις ἀνδρὸς μισογύνου καὶ σώφρονος οἷα τοὺς γήμαντας νουθετεῖ.* [6] *Ἀλλὰ μὴν* (11) *αὐτῶν ἂν ἴδοις τῶν μίμων τινὰς ἐλευθέρως οὕτω διακειμένους ὥστε, τῶν ἀστειοτέρων ἐς τὰς οἰκίας πυκνῶς εἰσιόντες ἐπὶ παῖδας καὶ γυναῖκας καὶ τὰ τιμιώτατα, οὐδὲν ἄτοπον οὐδαμοῦ πράξαντες ὤφθησαν.* [7] *Ὅπερ οὖν ἀσκῶν τις ἐπιμελῶς οὐ βλάπτεται τὴν ψυχὴν, τοῦτο πῶς ἂν τις βλάπτοιτο θεωρῶν;* [8] *Οἶμαι τοίνυν κἀκεῖνο πρὸς οὐ μικρὰν τείνειν μίμων συνηγορίαν, ὅτι γυναῖκας οἱ πλείους ἄγονται καὶ παιδοποιοῦνται κατὰ τοὺς νόμους, κοὐκ ἀνέγκλητον οὐδενὶ μίμου γυναῖκα μοιχεύειν, κἂν ἁλῷ τις τοῦτο πεποιηκὼς, ⟨δώσει δίκην οὐκ⟩ ἐλάττω τῆς ἐπὶ τοῖς ἄλλοις μοιχοῖς ὡρισμένης, οὐδὲ λέξει πρὸς τοὺς δικάζειν λαχόντας· «ἄνδρες δικασταὶ, οὗτός με ταῦτα πράττειν ἐδίδαξεν· οὗτος τὴν ἰδίαν ἐπαίδευσε σύνοικον μηδὲν οἴεσθαι χαλεπὸν εἶναι μοιχείαν.»* [9] *Οὐχ οὕτως ἀπολογήσεται· λέγοντος γὰρ ἀκούσεται τοῦ κατηγόρου· «Ἄνθρωπε, οὐδὲ τὸν ἐπὶ σκηνῆς τὴν δοκοῦσαν μοιχεύοντά μου γυναῖκα περιορῶ,*

---

4. *εὐγενείαις* Ms. — Dans la phrase suivante, *διεκώλυσεν* Ms.

5. Cf. § VI, 7, *σκιαγραφίαν δὲ μοιχείας ἦθος ἡγῇ διαστρέφειν.*

6. Les vers qui sont cités ici par l'orateur se lisent — à la réserve du quatrième — chez Stobée, *Florilège*, LXXIV, 27 (27ª, édit. Meineke), où ils font partie d'un morceau de dix-huit vers attribués à Ménandre. (Voy., à ce sujet, l'Introduction qui précède ce discours, pages 36 et 37.)

7. Ce vers n'est pas donné par les manuscrits de Stobée. — *κλυφν* (*ειν* interl.) Ms.

8. *ἀναστρεφομένη* (*ο ω* interl.) Ms.: *ἀναστρωφωμένη* (*ἀναστρεφομένη* A. B. *ἀναστροφωμένη* Voss. Trinc.) Stobée.

9. *εἰς ἅπαν* Ms.: *εἰς πᾶν* Stobée.

10. *παθοῦσα* Ms.: *παροῦσα* Stobée.

11. *μὴν*] *μὲν* Ms. — Ligne suiv., peut-être faut-il corriger *ἐλευθερίως.*

ἀγανακτῶ δὲ καὶ δεινά φημι πεπονθέναι καὶ "κάλει παῖδα" καὶ "μάχαιράν τις φερέτω". [10] *Πρόσεισιν οἰκέτης ἔχων τὸ προσταχθέν* (12)· *εἶτα βουλήν τινα δοὺς ἐμαυτῷ καὶ δεινὸν ἡγησάμενος αὐτοχειρίᾳ τὴν τιμωρίαν λαβεῖν, ἀμφοτέρους εἰς δικαστήριον ἄγω* (13). »

§ VIII. *Πόθεν οὖν τὸ πρᾶγμα κακῶς δίκαιον λέγειν; ὡς, εἰ πρὸς εὐκοσμίαν ἐπίβουλον ἦν, οὐ πάροδον εἶχεν ἐν Λακεδαίμονι* (1) — *φασὶ δὲ* (2) *τοὺς ἄνδρας μηδὲν ἄσχημον πράττειν ἐπιμελεῖσθαι καὶ τρόπων κοσμιότητι καλλωπίζεσθαι μᾶλλον ἢ τῇ περὶ τοὺς ἀγῶνας ἀνδρίᾳ* —, *οὐ πόλει βασιλευούσῃ* (3) *περισπούδαστον ἦν.* [2] *Ἐκείνη γὰρ ὅσους τῶν μίμων αὐτῇ διαπρέπειν ἡ φήμη κηρύττει, κἂν πόρρω που τύχωσιν ὄντες, πρὸς ἑαυτὴν ἐφέλκεται καὶ καλεῖ· καὶ δεῖγμα σαφὲς ἡ τῶν ἀδελφῶν ξυνωρὶς* (4) [fol. 156] *πατρίδα καὶ τροφὸν κτησαμένων τὴν πόλιν* (5), *οὐ πάλαι πέρας τοῦ βίου λαχόντων.* [3] *Καὶ σεμνύνεται μὲν ἡ πέμψασα πόλις,*

---

12. Démosthène, *Ambassade*, § 197, p. 402, à la fin, *ὕβριν τὸ πρᾶγμ' ἔφασαν οὑτοσὶ καὶ ὁ Φρύνων καὶ οὐκ ἀνεκτὸν εἶναι ...., καὶ « κάλει παῖδα » καὶ « ἱμάντα τις φερέτω ». Ἧκεν οἰκέτης ἔχων ῥυτῆρα.*

13. Les dénoûments tragiques n'étaient pas de mise dans ce genre de pièces. Cf. § VI, 3, et la note 5.

§ VIII.] 1. Athénée, *Banquet des Sophistes*, XIV, p. 621 D-E, *παρὰ δὲ Λακεδαιμονίοις κωμικῆς παιδιᾶς ἦν τις τρόπος παλαιός, ὥς φησι Σωσίβιος, οὐκ ἄγαν σπουδαῖος, ἅτε δὴ κἀν τούτοις τὸ λιτὸν τῆς Σπάρτης μεταδιωκούσης. Ἐμιμεῖτο γάρ τις ἐν εὐτελεῖ τῇ* (lire *τῳ* ou *τινι*?) *λέξει κλέπτοντάς τινας ὀπώραν, ἢ ξενικὸν ἰατρὸν κτλ..... Ἐκαλοῦντο δ' οἱ μετιόντες τὴν τοιαύτην παιδιὰν παρὰ τοῖς Λάκωσι δικηλισταὶ ὡς ἄν τις σκευοποιοὺς εἴπῃ καὶ μιμητάς.*

2. *δὲ*] corrigez *γάρ*.

3. Par les mots *πόλει βασιλευούσῃ* l'orateur veut sans doute désigner Constantinople. Un statère d'or de Chersonèse Taurique, frappé en l'an 75 de notre ère, et publié, pour la première fois exactement, par A. de Sallet dans la *Zeitschrift für Numismatik*, t. IV, 3ᵉ liv., p. 273 sv., porte, au lieu de l'épithète *ΕΛΕΥΘΕΡΑϹ* (se rapportant à la ville) qu'on trouve ordinairement sur les monnaies de Chersonèse, la légende, unique jusqu'à ce jour, *ΒΑϹΙΛΕ(Υ)ΟΥϹΗϹ·ΕΤΟΥ(Ϲ) ΡΘ* (ces derniers mots, *ἔτους ρθ'*, signifient l'année 109 de l'ère propre à cette ville), à propos de laquelle de Sallet fait l'observation suivante: « Ein Stadtbeiname *βασιλεύουσα* ist » nach allem, was ich von Fachmännern erfahren konnte, unerhört. » Cf. L. Dindorf au *Thesaurus*-Didot, t. II, col. 169: « *Ἡ βασιλεύουσα πόλις*, de » Roma Athen., 3, p. 98 c, ab Schweigh. indicatus, Malalas, p. 254, 4, » idemque de *Cpoli* p. 323, 8; 353, 11. Et omisso *πόλις* Leo Diac., p. 110, 20. » Hase, *Notae in Leon. Diac.*, sur p. 15, 3: « *τῆς βασιλευούσης ἐπισκοπῆς*, in concilio generali VIII. V. 1466. D.] Corrige ex Photii epistolis 5. A. *τῆς βασιλευούσης ἐπίσκοπος*, *episcopus reginae urbium*, hoc est Constantinopoleos. »

4. Cf. *Éloge d'Aratios*, § I, 2, et la note. — Nous ne savons quels sont les deux acteurs de qui il est question ici.

5. *τὴν πόλιν*, c'est-à-dire probablement Gaza, où le discours doit avoir été prononcé.

ἥδεται δ' ἡ τυχοῦσα τοῦ δώρου, ἡ μὲν ὡς οὐ βραχύ τι κερδάνασα, ἡ δ' ὡς οὐ μικρόν τι δωρησαμένη. [4] *Εἰκότως· οὐδὲ βασιλεὺς γὰρ ἀποδοκιμάζει τὴν θέαν, ἀλλὰ παρὰ τὴν τοῦ χειμῶνος ἀκμήν, ἐν ᾗ Ῥωμαῖοι τὴν πάτριον ἄγουσιν ἑορτήν, ἐνιαυτοῦ τοῦ μὲν πεπαυμένου, τοῦ δ' ἀρχομένου* (6), *ἡνίκα νόμος αὐτῷ τοῖς ἐν τέλει συνεστιᾶσθαι* (7), *ἥδιω τὴν εὐωχίαν ἡγεῖται θεάματι γίνεσθαι* (8) *μίμων.* [5] *Τοιγαροῦν τελεῖται μὲν ἐν βασιλείοις, πάρεστι δὲ τὸ βασιλικὸν ἅπαν συνέδριον, προκαθημένου τοῦ τὰ σκῆπτρα λαχόντος* (9)*· οὐ μίαν δὲ μόνον ἢ δευτέραν ἢ τρίτην ἑωρακότες ἡμέραν ἐμπίπλανται, κἂν διπλασιάσῃς τὸν ἀριθμόν, ἄλλης ἔτι μιᾶς προσδεήσει.* [6] *Μισθὸν δὲ τῆς θυμηδίας αὐτοῖς βασιλεὺς νέμει φιλοτιμίας ἐκείνῳ πρεπούσας* (10). [7] *Καίτοι Φιλίππου, φησί, κατηγόρησε Δημοσθένης ὅτι μίμους γελοίων ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει* (11). [8] *Ἐπειδὴ παρὰ* (12) *τὰ σπουδαῖα* (13) *τοῖς γελοίοις ἐχρῆ-*

---

6. Cf. *Odyssée*, XIV, 162, *τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο.*

7. Chorikios fait allusion à la fête des *Brumalia*, dont la *Chronique pascale* (p. 211-213, édit. L. Dindorf) fait remonter l'institution à Romulus. Cf. Ovide, *Fastes*, 163-164:

> Bruma *novi prima est veterisque novissima solis:*
> *Principium capiunt Phoebus et annus idem.*

Sur les divertissements, souvent accompagnés de scandale, donnés par les empereurs d'Orient à propos de cette fête, cf. Concile de l'an 706 dit *Concilium Trullanum*, canon 62 (Hardouin, *Acta concil.*, t. III, col. 1684); Etienne le diacre (IXe siècle) dans la *Patrologie Grecque-Latine* de Migne, t. C, col. 1169 B; Théophane continué, pp. 456 et suivante. Le manuscrit N-101 de la *Biblioteca Nacional* de Madrid contient, entre autres pièces inédites de Chorikios, *εἰς τὰ τοῦ βασιλέως Ἰουστινιανοῦ βρουμάλια* (voy. le catalogue d'Iriarte, à la p. 399). Cf. dans Bergk, *Poetae Lyrici Graeci*, p. 1097, éd. III, *εἰς τὰ βρουμάλια Ἀχολούθου* (Weil a corrigé *Κολούθου*) *τοῦ γραμματικοῦ:* et *ibid.*, p. 1079, la mention d'Aréthas, *εἰς τὰ τοῦ Λέοντος τοῦ βασιλέως βρουμάλια*, et de *Λέοντος ποιητικοῦ καὶ φιλοσόφου ἀνακρεόντιον εἰς* (lire *εἰς τὰ*?) *βρουμάλια τοῦ Καίσαρος Βάρδα.*

8. *γενέσθαι* Ms. — Sur *τελεῖται* (même ligne), cf. § V, 2, et la note 2.

9. Cf. *Éloge d'Aratios*, § I, 6, *ἕνεκά γε τοῦ τὰ σκῆπτρα λαχόντος.*

10. Tandis que Chorikios vante ici la libéralité de l'empereur envers les mimes et nous représente leur art comme jouissant de la plus grande faveur dans la capitale et à la cour, Procope dit expressément que Justinien, par esprit d'économie, laissa tomber le théâtre dans la plus complète décadence. *Histoire secrète*, 26, *τά τε γὰρ θέατρα...... ἐκ τοῦ ἐπιπλεῖστον ἅπαντα ἤργει· ου δή οἱ τὴν γυναῖκα τετέχθαι τε καὶ τετράφθαι καὶ πεπαιδεῦσθαι ξυνέβαινεν· ὕστερον δὲ ταῦτα δὴ ἀργεῖν ἐν Βυζαντίῳ ἐκέλευσε τὰ θεάματα, τοῦ μὴ τὰ εἰωθότα χορηγεῖν τὸ δημόσιον πολλοῖς τε καὶ σχεδόν τι ἀναρίθμοις οὖσιν οἷς ἐνθένδε ὁ βίος.* Il paraît donc nécessaire d'admettre que le présent discours a été prononcé, soit avant l'avénement de Justinien au trône, soit pendant les premières années de son règne.

11. Démosthène, 2e *Olynthienne*, § 19, p. 23, *μίμους γελοίων καὶ ποιητὰς αἰσχρῶν ᾀσμάτων..., τούτους ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει.* Cf. Zosime, 4, 33, *μῖμοί τε γὰρ γελοίων καὶ οἱ κακῶς ἀπολούμενοι ὀρχησταὶ καὶ πᾶν ὅ τι πρὸς αἰσχρότητα καὶ τὴν ἄτοπον ταύτην καὶ ἐκμελῆ συντελεῖ μουσικὴν ἠσκήθη τε ἐπὶ τούτου* (sous Théodose) *κτλ.*: Plutarque, *Problèmes symposiaques*, VII,

το, πολλῶν αὐτῷ πολέμων συνεστηκότων. [9] *Ὅτι γάρ τις καὶ γελοίων ἐστὶ καιρὸς, αὐτοῦ μοι τοῦ Δημοσθένους μάρτυς ὁ παιδευτὴς* (14), *τὸν Ἱππονίκου παῖδα* (15) *γελοίων ἀκροᾶσθαι προτρέπων, εἰ* (16) *μὴ καιρὸς ᾖ σπουδαίων* (17). [10] *Ἔτι τοίνυν οὐ θεωροῦντα μέμφεται Φίλιππον, ἀλλ' ὅτι, φησὶν, ἀγαπᾷ καὶ περὶ αὐτὸν ἔχει.* [11] *Οὔκουν τὴν θέαν ἁπλῶς, τὸ δὲ τούτοις ἀεὶ συνδιατρίβειν ἐν μέρει ποιεῖται κατηγορίας· δεῖ γὰρ οὔτε στέργειν τοσοῦτον ὅσον καὶ συνοικεῖν, οὔτε τοσοῦτον μισεῖν ὅσον καὶ τὴν θέαν ἐκκλίνειν· τὸ μὲν γὰρ ῥᾴθυμον, τὸ δὲ σκυθρωπόν.* [12] *Εἰ δέ με χρὴ* (18) *κατόπιν τῆς ἀληθείας τάξαι τὸν ῥήτορα καὶ τῆς πρὸς ἐκεῖνον αἰδοῦς περὶ πλείονος ταύτην ποιήσασθαι, φαίην ἂν ὡς τὰ μὲν ἀθυμοῦντα τὸν δῆμον παραμυθούμενος, τὰ δὲ τὸν Μακεδόνα μισῶν, ἐλοιδόρει τοὺς ἐκείνῳ συνόντας· ἐπεὶ, κατά γε κρίσιν ὀρθὴν, Φίλιππός μοι κοσμεῖ τὴν ὑπόθεσιν, ὃν αὐτὸς εἰς ἔλεγχόν μοι προφέρεις.* [13] *Ὁ γὰρ ἀνὴρ, εἰ μὲν ὕπτιος ἦν τις καὶ πάντα τὸν βίον ἀργίᾳ καὶ τρυφῇ δεδωκὼς καὶ βραχὺ φροντίζων εὐκλείας, ἦν ἀπόδειξις ἐναργὴς τοῦ μεστὸν αἰσχύνης εἶναι πρᾶγμα τοὺς μίμους· οἷος* (19) *γὰρ πέφυκεν ἕκαστος, τοιούτοις χαίρει συνών.* [14] *Ἐπεὶ δὲ τὴν δόξαν* (20) *ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾕρητο, κατὰ τὴν αὐτοῦ δυσμενοῦς μαρτυρίαν, καὶ πᾶν ὅπερ ἤθελε μέρος ἡ τύχη τοῦ*

4, 3 et 4, p. 712 E, *οὐκοῦν... μῖμοί τινές εἰσιν, ὧν τοὺς μὲν ὑποθέσεις, τοὺς δὲ παίγνια καλοῦσι.* Ulpien, sur le passage de Démosthène cité dans cette note, *μῖμοι γελοίων: ἀναγκαῖον τὸ τῆς προσθήκης· οὐχ ἅπασα γὰρ μίμησις γελοία τυγχάνει, ἀλλ' ἔστι καὶ σπουδαία. Ἡ γὰρ τραγῳδία μίμησίς ἐστιν ἠθῶν καὶ παθῶν βασιλικῶν, καὶ ἡ κωμῳδία μίμησις, καὶ οἱ μῖμοι Σώφρονος σπουδαῖοι.* L'expression *μῖμοι γελοίων* se retrouve encore dans un passage de saint Grégoire de Nazianze cité à la note 3 du § XIX.

12. *π̈* Ms. = *παρὰ*?
13. Cf. *Éloge d'Aratios*, § XIII, 3, et les notes afférentes au passage: voy. ci-dessous la note 17.
14. On voit que Chorikios était de ceux qui admettaient que Démosthène avait reçu directement les leçons d'Isocrate.
15. Le fils d'Hipponique, c'est Démonique (voy. la note 17).
16. *εἰ*] *ἦν*?
17. Isocrate, *Démonique*, § 31, p. 8 E, Estienne, *μηδὲ παρὰ τὰ γελοῖα σπουδάζων, μηδὲ παρὰ τὰ σπουδαῖα τοῖς γελοίοις χαίρων· τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρόν.*
18. *εἰ δὲ μέχρι* Ms.
19. Fragm. *οθ'*, chez Boissonade, p. 296: *οἷος πέφυκεν ἕκαστος τοιούτοις χαίρει συνών* (cf. ci-dessus la note 11 du § VI, au *Nota*); et en note: « Noti versus Euripidis in Stobaei Appendice, p. 19, et in Hermogenis Prog. » c. 4, ex Phoenice Fr. 9: *ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ || οὐ πώποτ' » ἠρώτησα, γιγνώσκων ὅτι || τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών.* » (Ce sont les vers 7-9 du n° 809 des *Euripidis fragmenta*, rec. A. Nauck. Lipsiae 1869. Ils sont cités par Démosth., *Ambassade*, § 245, p. 417.)
20. Démosthène, 2e *Olynthienne*, § 15, p. 22, *δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος.*

σώματος ἑτοίμως ἐκείνῃ προεῖθ' ὥστε τῷ λοιπῷ σεμνῶς βασιλεύειν (21), πῶς ἄν, εἴπερ ἄδοξον ἦσαν οἱ μῖμοι, τούτοις ἐκεῖνος συνῆν ἄνθρωπος, ὑπὲρ εὐδοξίας ἠκρωτηριασμένος εἶναι μᾶλλον ὑπομείνας ἤπερ ὅλος διάγειν ἀσχήμως; [15] Ἐξ αὐτοῦ τοίνυν Φιλίππου πάρεστιν ἀμφότερα γνῶναι, ὡς δεῖ μὲν εὐκλείας ἐρᾶν, καὶ σωτηρίας αὐτὴν (22) ἔμπροσθεν ἄγειν, καὶ δρέπεσθαι πόνοις καὶ κινδύνοις τὸ κτῆμα, δεῖ δὲ καὶ τῆς ἐκ τῶν μίμων ἀναπαύλης μετέχειν. [16] Ἔστι γάρ, ἔστιν ἅμα τῇ θυμηδίᾳ ἦθος (23) ἐντεῦθεν ἀναλαβεῖν τοὺς συνόντας εὐφραῖνον καὶ σκωμμάτων χάριν ζηλῶσαι. [17] Τοιγαροῦν τῶν Ἀθηναίων οἱ πρέσβεις, οὓς ὑπὲρ εἰρήνης ἡ πόλις ἀπέστειλεν, οὐ τὴν ἐν τοῖς πράγμασι μόνον Φιλίππου δεινότητα θαυμάσαντες ἐπανῆλθον, ἀλλὰ καὶ τῆς ἐν τοῖς πότοις αὐτοῦ δεξιότητος (24) ἀγασθέντες, ὥστε τὸν ἐν ἐκείνοις πρεσβύτατον (25) εἰπεῖν ὡς τυγχάνοι μὲν εἰς μακρὸν ἤδη γῆρας ἐλάσας, οὔπω δ' οὕτως ἡδὺν κἀστεῖον ⟨ἄνθρωπον⟩ (26) ἑωρακὼς εἴη. [18] Οὕτω φιλοπονίας καὶ χάριτος ὁ Μακεδὼν εἰς ἄκρον ἀφίκετο, καὶ οἴκοθε (27) μέν, ὡς εἰκός, ἐπαφρόδιτος ὤν, προσλαβὼν δέ τι (28) καὶ τῇ θέᾳ τῶν μίμων. [19] Ἔστιν ἄρα πρόθυμόν τ' εἶναι καὶ κτήσασθαι δόξαν . . . . μίμων (29) κεὐφροσύνην μὴ ζημιοῦσθαι (30) · ταῦτα γὰρ ἅπαντα Φιλίππῳ προσῆν. [20] Ἀλλ', εἰ δοκεῖ, Φίλιππον καὶ Μακεδονίαν ἀφέντες — ἱκανὰς (31) γὰρ ἡμῖν ἐχορή-

21. Démosthène, *Couronne*, § 67, p. 247, πᾶν ὅ τι βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο προϊέμενον ὥστε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν. La vulgate insérait dans ce passage, entre τοῦτο et προϊέμενον, les mots ῥᾳδίως καὶ ἑτοίμως; certains manuscrits, ainsi qu'un reviseur ancien du *Parisinus Σ*, seulement ἑτοίμως. Le manuscrit dans lequel Chorikios lisait Démosthène appartenait, comme on voit, à la même classe que ces derniers.

22. D'abord αὐτῇ, changé de première main en αὐτήν, Ms.

23. θυμηδίᾳ ἦθος, hiatus atténué par la pause.

24. Eschine, *Ambassade*, § 47, p. 229, καὶ τῆς (Φιλίππου) ἐν τοῖς πότοις ἐπιδεξιότητος. Cf. Chorikios, *Éloge d'Aratios*, § XIII, 1, ἑστιῶν δ' αὐτοὺς καὶ φιλοτησίας προπίνων καλὴν ἐνεδείξω πρὸς ἅπαντας δεξιότητα, et la note afférente à ce passage.

25. πρεσβύτην Ms. — Eschine, *Ambassade*, § 42, p. 225, Κτησιφῶντος δέ, ὅσπερ ἦν ἡμῶν πρεσβύτατος, ὑπερβολήν τιν' ἑαυτοῦ παλαιότητος καὶ πλήθους ἐτῶν εἰπόντος, καὶ προσθέντος ὡς ἐν τοσούτῳ χρόνῳ καὶ βίῳ οὐ πώποθ' οὕτως ἡδὺν οὐδ' ἐπαφρόδιτον ἄνθρωπον (il parle de Philippe) ἑωρακὼς εἴη.

26. L'addition de ἄνθρωπον est motivée par le texte d'Eschine cité à note précédente.

27. οἴκθε Ms. Pour la forme οἴκοθε, qui n'est pas signalée au *Thesaurus*-Didot, cf. ἐντεῦθε plus bas, § XVII, 4, et la note 6.

28. δὲ τὸ Ms.

29. δόξαν μίμων (sans trace de lacune) Ms.

30. ζημιᾶσθαι Ms.

31. ἱκανῶς d'abord, changé de première main en ἱκανάς, Ms.

γῆσαν (32) ἀφορμάς — ἴωμεν ἐπὶ τὴν Ῥώμην τῷ λόγῳ. [21] Πέντε τοίνυν εἰσὶ μνῆμαι βασιλειῶν (33), καὶ μήποτ' εἴη πλειόνων· ἀρίστη δὲ καὶ μεγίστη πασῶν ἡ παροῦσα. [22] Φαίνεται τοίνυν αὕτη μάλιστα μίμοις χρωμένη· οὐκ ἂν εἰ (34) φαῦλον ὑπῆρχε τὸ θέαμα. [23] Τοσαύτη γὰρ ἡ Ῥωμαίων σεμνότης ὥστε τῶν ἁμαρτημάτων ὅσα πάλαι μικρὰν ἐφίστατο (35) δίκην, ταῦτα πικρῶς οἱ Ῥωμαίων σωφρονίζουσι νόμοι· τὴν γυναῖκα (36) γὰρ ἐφ' ᾗ ἂν ἁλῷ μοιχὸς νόμοι μὲν Ἀττικοὶ χρυσοφορεῖν εἴργουσι καὶ (37) δημοτελέσιν ἱεροῖς παραβάλλειν, Ῥωμαῖοι δὲ ζημιοῦσι θανάτῳ (38). [24] Οὐκοῦν ὅσῳ (39) μείζονι τὴν μοιχείαν κολάζουσι δίκῃ, τοσούτῳ πλείονα σωφροσύνης τίθενται πρόνοιαν, ὥστε παντί που δῆλον ὡς, εἰ τὴν τυχοῦσαν ἔφερε βλάβην ἡ τῆς ἐν θεάτρῳ [fol. 157] μοιχείας εἰκὼν — πάλιν γὰρ ἐπὶ ταύτην ἥκει με φέρων ὁ λόγος —, οὔποτ' ἂν νομοθέταις ἠμελήθη Ῥωμαίων.

§ IX. Ἐκείνων οὖν οὐδὲν ἀδικεῖν ἡγησαμένων τὸ πρᾶγμα, σὺ τοῦτο προτρέπειν οἴει τοὺς ἐρῶντας (1) μοιχεύειν. [2] Μὴ τοσοῦτον παίγνια μίμων (2) γενναίας κατισχύσειε φύσεως. [3] Ἦ καὶ

---

32. ἐγγεγόνασι Ms.

33. Quels sont les cinq empires que Choricius a en vue? Le cinquième, comme il ressort clairement du texte, est l'Empire Romain. Les quatre autres sont-ils les quatre empires de Daniel, II, 38-40? La plupart des interprètes comprennent déjà, il est vrai, l'Empire Romain dans les quatre empires de Daniel. Mais Choricius était peut-être d'une autre opinion; et d'ailleurs, il est possible qu'il ne se soit pas même demandé quels étaient ces quatre empires.

34. Bien que cette construction puisse étonner un peu tout d'abord, il ne nous semble pas qu'il y ait là de faute.

35. ἐφίστατα Ms.

36. En regard de cette phrase, à la marge du MS., σημείωσαι. — Τὴν γυναῖκα ἐφ' ᾗ ἂν ἁλῷ — σωφροσύνης τίθενται πρόνοιαν, avec la variante οὐκοῦν ὅσῳ Ῥωμαῖοι μείζονι, fragment x chez Boissonade, p. 297 (cf. ci-dessus la note 11 du § VI, au Nota). — Eschine, Timarque, § 183, p. 176, ὁ δὲ Σόλων, ὁ τῶν νομοθετῶν ἐνδοξότατος, γέγραφεν ἀρχαίως καὶ σεμνῶς περὶ τῆς τῶν γυναικῶν εὐκοσμίας. Τὴν γὰρ γυναῖκα ἐφ' ᾗ ἂν ἁλῷ μοιχὸς οὐκ ἐᾷ κοσμεῖσθαι, οὐδὲ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσιέναι.

37. ἀπαγορεύουσι καὶ d'abord; puis ἀπαγορεύουσι (seul) barré, et εἴργουσι καὶ écrit au-dessus, le tout de première main. Ms.

38. « Leges Romanae adulteram mulierem morte mulctarunt: sed serius, » ut videtur, nec ante Constantinum. Vide Brot. ad Tacitum Ann. 2, 50. » (Boissonade, note 2 de la page 297.) La Novelle CXXXIV dit seulement (chap. X): τὴν δὲ μοιχευθεῖσαν γυναῖκα ταῖς προσηκούσαις ποιναῖς ὑποβαλλομένην ἐν μοναστηρίῳ ἐμβάλλεσθαι. La femme adultère peut même, au bout de deux ans, sortir du monastère, si son mari consent à la reprendre.)

39. Après ὅσῳ, le manuscrit de Macarius Chrysocéphale insère Ῥωμαῖοι: voy. ci-dessus la note 36, et la note 11 du § VI, au Nota.

IX, 1. ἐρῶντες Ms.

2. Sur l'expression παίγνια μίμων, cf. Plutarque cité ci-dessus, à la note 11 du § VIII.

τῶν Μενάνδρῳ πεποιημένων προσώπων Μοσχίων (3) *μὲν ἡμᾶς παρεσκεύασε παρθένους βιάζεσθαι, Χαιρέστρατος* (4) *δὲ ψαλτρίας ἐρᾶν, Κνήμων* (5) *δὲ δυσκόλους ἐποίησεν εἶναι, Σμικρίνης* (6) *δὲ φιλαργύρους ὁ δεδιὼς* (7) *μή τι τῶν ἔνδον ὁ καπνὸς οἴχοιτο φέρων;* [4] *Ἀλλ' οὐδεὶς ἄν, οἶμαι, ταῦτα φήσειεν εὖ φρονῶν* (8). [5] *Καίτοι μισανθρωπία καὶ ψαλτρίας ἔρως καὶ τὸ φιλάργυρον εἶναι ὄνειδος ἔχει τιμωρίας ἐκτός, μοιχεία δὲ* (9) *τοῖς ἐσχάτοις ἔνοχός ἐστιν ἐπιτιμίοις.* [6] *Οὔκουν ἐκεῖνα μᾶλλον ἱκανὰ πρὸς ζῆλον ἐγείρειν, ὅσῳ τὰ μὲν ψέγεται μόνον, τὸ δὲ τῇ μεγίστῃ κολάζεται δίκῃ;*

---

3. Photios et Suidas, *s. v.* *πέμπειν*, *Μένανδρος Ὑποβολιμαίῳ ἢ Ἀγροίκῳ.*
Μικρὰ Παναθήναι' ἐπειδὴ δι' ἀγορᾶς πέμποντά σε,
Μοσχίων, μήτηρ ἑώρα τῆς κόρης ἐφ' ἅρματος.
(Meineke, *Fragm. comicor. Graec.*, t. IV, p. 211.)
On manquait absolument d'autres renseignements sur ce personnage de Ménandre: Chorikios nous rend ici un trait important de la figure de Moschion.

4. Tout ce que l'on savait jusqu'ici de Chérestrate est contenu dans la notice suivante de Meineke (*Fragm. comicor. Graec.*, t. IV, p. 216): «Cicer. *pro Sex. Roscio Amerino, XVI*, 46, "*ecquid tandem tibi videtur, ut ad fabulas veniamus, senex ille Caecilianus minoris facere Eutychum, filium rusticum, quam illum alterum* Chaerestratum? — *nam, ut opinor, hoc nomine est — alterum in urbe secum honoris causa habere, alterum rus supplicii causa relegasse?*" Haec e Caecilii Hypobolimaeo, ad Menandreae fabulae imitationem composito, petita esse docet Festus *De verb. signif.*, p. 337, ed. Godofr. "*Caecilius in Hypobolimaeo Chaerestrato*"». Comparez la note précédente et le texte auquel elle se réfère. Moschion et Chérestrate se présentent en même temps au souvenir de Chorikios; c'est tout naturel: ce sont deux personnages de la même pièce.

5. Élien, *Lettres Rustiques*, dépeint un misanthrope, bourru et méchant quoique encore jeune, qui s'appelle Cnémon, ainsi que le personnage de Ménandre donné ici par Chorikios comme le type du *δύσκολος* et de la *μισανθρωπία* (lettres 13-16, *de Callippide à Cnémon* et *de Cnémon à Callippide*). Il y a lieu de croire qu'Élien a tracé ce portrait en se souvenant du Cnémon du comique athénien. Ménandre avait composé aussi un pièce intitulée *Δύσκολος*, dont il existe quelques fragments, mais le *δύσκολος* qui paraît en avoir été le personnage principal, était un vieillard du nom de Smicrinès (voy. la note suivante). D'où il résulte — et c'est à Chorikios que nous devons ce renseignement — que Ménandre avait peint dans son théâtre au moins deux variétés de *δύσκολος*. Le nom de Cnémon se trouve une fois dans les fragments des comiques grecs: *βούλει τι, Κνήμων; εἰπέ μοι* (Meineke, t. IV, p. 322, fragment 457 des *Menandri fabulae incertae*).

6. Smicrinès était un vieillard *δύσκολος* dont Ménandre avait fait le type de la lésinerie et de l'avarice. Il paraissait dans deux pièces au moins, le *Δύσκολος* et les *Ἐπιτρέποντες* (voy. Meineke, *Fragm. comic. Graec.*, t. IV, p. 106-107, 120-121: Jacobs, *Lectiones Stobenses*, p. 96-97, et, au *Thesaurus*-Didot, les renvois de l'article *Σμικρίνης*). En somme, on ne connaissait jusqu'ici, du caractère de Smicrinès, que les traits généraux. Chorikios nous rend un détail curieux, et, à ce que nous croyons, inconnu, du portrait que Ménandre avait tracé de son Avare.

7. *ὁ δὲ διὸς* Ms.

8. *εὐφραίνων* Ms.

9. *μοιχείας δὲ* Ms.

§ X. *Εἴθε, φησὶ, μοιχείας αὐτοῖς μίμησις ἤρκει, καὶ μὴ πολὺ δεινοτέραν αὐτῆς ἐπετήδευον, πεπορνευμένον* (1) *ὑποκρινόμενοι.* [2] *Τίνα δὴ βλάπτειν ἡγῇ τὴν ὑπόκρισιν; αὐτὸν, εἰπέ μοι, τὸν κεχρημένον ἢ τὸν θεώμενον οἴει θηλύνειν;* [3] *Σὺ μὲν ἀμφοτέρους ἐρεῖς· ἐγὼ δὲ τούτων οὐδέτερον.* [4] *Οὐ γὰρ συναλλοιοῦται τοῖς ἐσθήμασιν ἡ ψυχὴ, κἂν συνᾴδοντά τις τῷ σχήματι φθέγξηται· οὔτε γὰρ ἀνδρεῖον ἡ λεοντῆ τὸν Ἀριστοφάνους ἐποίει Ξανθίαν* (2), *οὔτε δειλὸν ἡ γυναικεία στολὴ τὸν Πηλέως· κἂν ἐγὼ τὸ σχῆμα τοῦτο τῆς Ἀττικῆς* (3) *ἀποθέμενος ἀναλάβω στρατιώτου σκευὴν οὐ γενήσομαί τις πολεμικός.* [5] *Καὶ τί με δεῖ πρὸς ὑμᾶς ἐμαυτῷ παραδείγματι χρήσασθαι;* [6] *Παίζουσι πόλεμον ἐνίοτε μῖμοι· καὶ γίνεται δὴ στρατηγὸς μέν τις τῶν Τρώων, ἕτερος δέ τις τῶν Μυρμιδόνων, ἄμφω δὲ μένουσι τὴν ἔμφυτον ἔχοντες δύναμιν, οὐ τὴν πεπλασμένην ἰσχύν.* [7] *Αἰσθάνομαι μὲν ἠρέμα σου κατανεύοντος· ἐπεὶ δὲ μήπω* (4) *βεβαίως ἔοικας πειθαρχεῖν, ἀκούσῃ τι μεῖζον τῶν εἰρημένων.* [8] *Εἰ μῖμος εἴη πεπορνευμένος, ἂν τὴν ἰδίαν ὑποκρίνηται* (5) *νόσον, οὐ γελᾶν, οὐ θαυμάζειν κινήσει τὸ θέατρον* (6)*· ὥστε φροντὶς αὐτῷ γίνεται καὶ σπουδὴ πάθος διαφυγεῖν, ἵνα γέλωτος τύχῃ καὶ κρότου.* [9] *Εἰ δὲ λέγεις κατὰ βραχὺ τὴν μίμησιν ὑποσαίνουσαν τὴν ψυχὴν ἐντὸς παραδύεσθαι καὶ γίνεσθαι φύσιν, ὀρθῶς ἂν εἴποις, ἡνίκα τις ἕν τι καὶ μόνον ἀσκεῖ καὶ πρὸς ἐκεῖνο τὸν λογισμὸν ἐκδίδωσιν ὅλον· εἰ δέ τις εἴδη παντοδαπὰ σχηματίζεται καὶ πρὸς ἕτερον ἐξ ἑτέρου μεταπηδᾷ καὶ τὸ παρὸν ἔτι μιμούμενος ἐννοεῖται τὸ προσδοκώμενον, ὁ δὲ τοιοῦτος οὔτε τοῖς σεμνοτέροις γίνεται σχήμασι κρείττων, οὔτε τοῖς ἑτέρως ἔχουσι χείρων.* [10] *Μὴ τοίνυν πρᾶγμα πειρῶ καταλύειν, ὅπερ τὸν μετιόντα μὲν οὐδὲν ἀδικεῖ, τῶν δὲ τεθεαμένων τοὺς μὲν οἴκαδε πέμπει, τοὺς δ' εἰς ἀγορὰν ἐξάγει, ἑκατέρους φέροντας ἐν* (7) *τῷ προσώπῳ μειδιάματος λείψανον· ὑπὲρ τῶν μιμουμένων οὕτως ἡ πεῖρά σοι διαμάχεται.* [11] *Ὑπὲρ δὲ τῶν θεωμένων οἱ Ῥωμαίων πρὸς σὲ πάλιν ὁπλίζονται νόμοι.* [12] *Ὥσπερ γὰρ Ἀθηναίους οὐδὲν ἡ κωμῳδία βλάπτειν ἐδόκει πρὸς*

---

§ X.] 1. *πεπορνευμένους?* Cf. cependant § XIII, 9, *σχῆμα πεπορνευμένου φέρεις εἰς μέσον.*

2. Aristophane, *Grenouilles*, v. 498 et suiv.: v. 589 et suivants. — Ensuite, allusion à Achille caché sous des habits de femme dans l'île de Scyros, parmi les filles de Lycomède.

3. *τῆς ἀστικῆς?* (Weil.) Cf. Sophocle, *Philoctète*, 223, *σχῆμα μὲν γὰρ Ἑλλάδος ‖ στολῆς ὑπάρχει.*

4. *μή πως* Ms.

5. *ὑποκρίνεται* Ms.

6. Cf. § I, 2, et la note 5.

7. *ἐν*] *ἔτι* Ms.

σωφροσύνην, μνήμην ποιουμένη Κλεισθένους οἷαν ὁ τούτου βίος ἀπῄτει [8] — ὁ γὰρ Ἀθήνησι νόμος, ἀτίμους ποιῶν τοὺς ἐπὶ τῷ σώματι μισθαρνοῦντας [9], οὐκ εἴα δοξάζειν τὸν δῆμον ὡς δεῖ τοιαῦτα τολμᾶν οἷα κωμικοὶ παίζουσι ποιηταί —, οὕτω καὶ νῦν ὁ κολάζων νόμος τοὺς πωλοῦντας τὴν ὥραν δείκνυσι παίγνιον ὂν [10] τὰ δρώμενα. [13] Διὰ τοῦτο τοὺς παῖδας οἱ φύσαντες καὶ μίμους οὐδαμῶς εἴργουσιν ἐν δέοντι θεωρεῖν καὶ δράματα κωμικὰ παρασκευάζουσιν ἀπαγγέλλειν [11]· δέδοικε δ' οὐδεὶς μὴ λάθῃ γύννις καὶ θηλυδρίας ὁ παῖς αὐτῷ γεγονώς, ἢ μῖμον ἰδὼν τοιαῦτα σχηματιζόμενον [12] ἢ λέγοντος Ἀριστοφάνους ἀκούσας ἃ δὴ τοὺς τοιούτους ἐκεῖνός που ἔφη κωμῳδῶν [13], οὐδὲ γραμματιστὴν ᾔτησε πώποτε μειρακίου πατὴρ [14] τὰ μὲν ἄλλα δράματα τῷ παιδὶ παραδοῦναι, ἐν οἷς δέ τι τοιοῦτόν ἐστι παραλιπεῖν. [14] Καίτοι τῶν γονέων οἱ νοῦν ἔχοντες τῆς εὐκοσμίας μᾶλλον ἢ τῆς γλώττης αἰτοῦσι πρόνοιαν ἔχειν τὸν παιδευτήν. [15] Ἀλλ' [15] οὔτε τοιαῦτα λέγοντα ποιητὴν, οὔτε μῖμον οὕτως ὑποκρινόμενον ὑφορῶνται, οὐδὲ τοῖς οἰκέταις οἷς [16] παραδιδόασι τοὺς υἱεῖς διακελεύονται πάντα πλὴν μίμων ἐνδιδόναι τοῖς παισὶ θεωρεῖν. [16] Τοσούτων ἤδη λεχθέντων, οὔπω [17] τὸ μέγιστον εἴρηται· αὐτοὺς γὰρ τοὺς πεπορνευμένους οὓς ὀνομάζομεν, ἐκ τούτου τὰ σώματα διαλελύσθαι τῷ πάθει ἡμέρας, ὡς εἰπεῖν, ἑκάστης ὁρῶντες, ἀκούοντές τε κυμβαλιζόντων [18] ἐν τοῖς συμποσίοις, οὐδεμίαν αἰσθανόμεθα βλάβην

8. Voy. Aristophane, *Grenouilles*, vers 48 et 57 (Chorikios doit avoir ces deux passages particulièrement en vue; car à deux reprises déjà, dans les lignes précédentes, on a eu à signaler des réminiscences de la comédie des *Grenouilles*, § VI, 4, note 9, et § X, 4, note 2): *Lysistrate*, *Guêpes*, etc., *passim*.

9. Loi citée chez Eschine, *Timarque*, § 21, p. 47, ἐάν τις Ἀθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, μηδ' ἱερωσύνην ἱεράσασθαι, μηδὲ συνδικῆσαι τῷ δήμῳ, μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μηδὲ κτλ.

10. Sur παίγνιον ὄν, et non ὄντα, cf. Madvig, *Syntaxe Grecque*, § 4 (= Krüger, *Grammaire Grecque*, § 63, 6, remarque): τὴν ἡδονὴν διώκετε ὡς ἀγαθὸν ὄν, Platon, *Protagoras*, p. 354 C.

11. Cf. § VI, 8, et la note 15.

12. μίμων ἰ. τ. σχηματιζόμενον Ms.: on pourrait aussi bien conjecturer μίμων ἰ. τ. σχηματιζομένων.

13. Aristophane se sert du mot γύννις en parlant d'Agathon et caractérise son chant par l'épithète θηλυδριώδες (*Thesmophor.*, vers 131 et 186). Γύννις ne se trouve que cette seule fois dans ce qui nous reste d'Aristophane, et θηλυδρίας ne s'y rencontre point.

14. πατὴρ] πατρὶ Ms.

15. .λλ' Ms.

16. οὓς Ms.

17. οὕτω Ms.

18. κυμβαλίζειν, mot rare, qui n'est signalé au *Thesaurus* que dans deux passages, Lucien, *Calomnie*, § XVI, p. 147, et Cassius Hemina chez Nonius, p. 90, 25. On peut citer encore, dans la version des Septante, *Néhémie*, 12, 27, ἐν ᾠδαῖς κυμβαλίζοντες.

ἐντεῦθεν ἡμῖν ⟨ἑπομένην⟩ [19] [fol. 158]. *Οὐδὲν οὖν λυμαινομένων* [20] *τῶν τοῦτο νοσούντων, τί ἂν πάθοι τις ἐκ τῶν μιμουμένων;*

§ XI. *Τάχα τοίνυν, ἐπειδὴ μνήμην ἀρτίως*(1) *Ἰσοκράτους ἐποιησάμην, εἰς ἔννοιαν παρ' ἐμοῦ τοῦτον λαβὼν, ἐκείνην αὐτοῦ τὴν παραίνεσιν εἰς ἔλεγχον οἴσεις τῶν μίμων « ἃ*(2) *ποιεῖν αἰσχρὸν, ταῦτα νόμιζε μηδὲ λέγειν εἶναι καλόν»· οἱ δὲ ποιοῦσι μὲν ἃ μηδὲ θεωρεῖν ἄξιον, λέγουσι δ' ἃ μηδ' ἀκούειν καλόν.* [2] *Ἀλλ' εἰ μὲν ἀπὸ σπουδῆς τοιούτοις ἐχρῶντο σχήμασί τε καὶ λόγοις, πάνυ*(3) *αὐτοῖς συνηγορῶν ᾐσχυνόμην, μᾶλλον δὲ μὴ ψόγον ἐπιδεικνύμενος· ἐπεὶ δὲ καὶ μίμησις ὑπάρχει τοὐπιτήδευμα, ἑκατέρας δ' ἰδέας μετέχει — νῦν μὲν γὰρ οὐ σεμνὰ σχηματίζονται, νῦν δὲ πάσης αἰσχύνης ἀπηλλαγμένα*(4) *—, αὐτοῦ*(5) *τε τὸ δοκοῦν εἶναι παράνομον δικαστοῦ παραδίδοται ψήφῳ, τί μέμψεως ἄξιον αὐτοῖς ἐνορᾷς; πλὴν εἰ μὴ φήσεις σε*(6) *κἀκεῖνο κατηγορεῖν ὅτι μὴ μόνα τὰ βελτίω μιμοῦνται.* [3] *Καὶ πῶς τὴν αὐτῶν ἐβεβαίουν ἐπωνυμίαν, ἣν ἐκ τοῦ τὸν βίον ὑπογράφειν προσαγορεύονται, εἰ τῶν ἐν τῷ βίῳ πραγμάτων τὰ μὲν ὑπεκρίνοντο, τὰ δὲ παρεώρων; ὥσπερ ἂν εἰ καὶ*(7) *τῶν ὀψοποιῶν κατηγόρεις ὅτι τὰ μὲν ὠφέλιμα ποιοῦσι τῶν ὄψων, τὰ δ' οὔ, τοιαῦτα δέον μόνα μαγειρεύειν ὅσα πρὸς ὑγίειαν λυσιτελεῖ.* [4] *Ἀλλ' οὔτε μαγείρους οὔτε μίμους αἰτιατέον· ἑκάτερα*(8) *γὰρ ἄμφω ποιεῖν ἡ τέχνη παρακελεύεται.* [5] *Ἀλλ' ἀντὶ μὲν ἐκείνων μέμφου τοὺς ἐπιτάττοντας*(9)*· ἀντὶ δὲ μίμων τοὺς οὐ χρηστὰ πράττοντας ἔργα, τῆς οὐ καλῆς δεδωκότα*

---

19. La dernière ligne du *folio* 157 *verso* se termine sur le mot *ἡμῖν*. La page suivante est tout entière d'une autre main que la plus grande partie du discours; c'est la même qui a encore écrit plus bas le *folio* 160 *verso*, le *folio* 163 *recto* à partir de *λοιπόν* (début du § XIX), le *folio* 163 *verso*, ainsi que d'autres parties du manuscrit, notamment l'Éloge d'Aratios tout entier (voy. ci-dessus, p. 1). Le *folio* 158 *recto* commençant sur le mot *οὐδέν*, il était évident qu'il existait là une lacune. Une main postérieure a ajouté en bas du *folio* 157 *verso*, à la place qu'occupent ordinairement les réclames, le mot *ἑπομένης*, d'où nous avons tiré *ἑπομένην*, qui fait le sens.

20. *λυμαινομ* (l'accent aigu de l'*έ* et la plus grande partie de l'abréviation *ων* enlevés par le rogneur lors de la reliure du volume) Ms.

§ XI.] 1. Voy. § VIII, 9.
2. Isocrate, *Démonique*, § XV, p. 5 A, Estienne.
3. Peut-être *πάνυ ⟨γ' ἂν⟩ αὐτοῖς*.
4. Cf. § IV, 7, et la note 4.
5. *αὐτό* Ms.
6. *φήσει σε* Ms.
7. *ἂν εἰ καὶ*] *ἀνῆκε* Ms.
8. *ἑκατέραν* Ms.
9. *ἐπιτάττοντας*] *ἐπιτύττοντας* Ms.

μιμήσεως ἀφορμήν. [6] *Οὕτω πανταχῇ τὸ πρᾶγμα περιστρέφοντες, ὑπεύθυνον οὐδαμοῦ κατηγορίας ὁρῶμεν.* [7] *Οὐ γὰρ αὐτὸ δήπου τὸ παρασκευάζειν γελᾶν εἴποις ἂν ὑπαίτιον* [fol. 158 v°] *εἶναι* (10) · *οὐδὲ γὰρ Λυκοῦργος ὁ Σπαρτιάτης, ἀνὴρ σύννους* (11) *καὶ πράττων οὐδὲν ἄνευ μεγάλου φρονήματος, πρὸς ὃν εἰρηκέναι τὸν Ἀπόλλωνά φασιν*

δίζω (12) *ἤ* (13) *σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον,*
ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι,

οὐδ' οὗτος ὁ Λάκων, ὁ παρὰ κριτῇ τῷ Πυθίῳ φύσεως ἀνθρωπείας ἔχων ἀμείνω τὸν νοῦν, ὑβρίζειν ᾠήθη τὴν Σπάρτην ἱδρυσάμενος ταύτῃ Γέλωτος ἄγαλμα (14), *καλῶς γε ταῦτα φρονήσας καὶ τῆς Ἀπόλλωνος εὐφημίας ἀξίως.* [8] *Δύο γὰρ ἄνθρωπος ἔχει κοινὰ μὲν πρὸς τὸ θεῖον, ἐξαίρετα δὲ πρὸς τὴν ἄλογον φύσιν, λόγον καὶ γέλωτα.* [9] *Ὡς γὰρ πεφύκασι γελᾶν καὶ θεοί, οἶδεν ὁ μεμνημένος τοῦ λέγοντος ἔπους*

θεοῖσι δὲ γέλως ἄσβεστος ὄρωρεν (15) ·

τὸ δὲ φιλομμειδὴς Ἀφροδίτη (16), *κἂν ἐγὼ παραλείψω, λογίζεσθε· ὁ δ' Ἔρως* (17) *κἀνεκάγχασεν εὐστόχως τὴν Αἰήτου βαλών.* [10] *Πῶς οὖν ἄν τις ἐπιτήδευμα λοιδορήσειεν,* [*ἐν*] *ᾧ πρόσεστιν ἔργον κοινὸν μὲν ἀνθρώπου τε καὶ θεοῦ, πόρρω δὲ γένους ἀλόγου;* [11] *Ἐντεῦθεν ἄνδρες ἐν λόγοις τε καὶ νόμοις ἀχθέντες οὐκ ἀποκνοῦσι τοιαῦτα, καιροῦ καλοῦντος, ἐπιτηδεύειν· καὶ τοὺς μὲν ἐνταῦθα τοῦτο πεποιηκότας* (18) *τί δεῖ πρὸς εἰδότας εἰπεῖν;* [12] *Ἀποβλέψατε δὲ πρὸς τὴν Καίσαρος* (19) *πόλιν, ἣν ἐκαλλώπισε πανταχόθεν ἡ φύσις· ὡραία τε γὰρ καὶ μεγάλη καὶ λόγοις*

---

10. A partir du *folio* 158 *verso*, la main qui avait copié le discours, depuis le commencement jusqu'au bas du *folio* 157 *verso*, reprend.
11. Cf. *Éloge d'Aratios*, § XIII, 1, et la note 10.
12. A la marge du manuscrit, on lit ici *σημείωσαι*. — Cet oracle se lit chez Hérodote, I, 65.
13. *εἰ* Ms.: *ἤ* Hérodote.
14. Cf. Plutarque, *Lycurgue*, 25, *οὐδὲ γὰρ αὐτὸς ἦν ἀκράτως αὐστηρὸς ὁ Λυκοῦργος· ἀλλὰ καὶ τὸ τοῦ Γέλωτος ἀγαλμάτιον ἐκεῖνον ἱδρύσασθαι Σωσίβιος ἱστορεῖ*: *Cléomène*, 9, *ἔστι δὲ Λακεδαιμονίοις οὐ Φόβου μόνον, ἀλλὰ καὶ Θανάτου καὶ Γέλωτος καὶ τοιούτων ἄλλων παθημάτων ἱερά.*
15. *Sic.* — Cf. *Iliade*, I, 599:
Ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν.
16. *Φιλομμειδὴς Ἀφροδίτη*, *Iliade*, IV, 10: *Iliade* et *Odyssée*, passim.
17. Apollonios de Rhodes, *Argonautiques*, III, 286: Eros, blotti dans les jambes de Jason, lance un trait contre Médée,
ἧκ' ἐπὶ Μηδείῃ· τὴν δ' ἀμφασίη λάβε θυμόν·
αὐτὸς δ' ὑψορόφοιο παλιμπετὲς ἐκ μεγάροιο
καγχαλόων ἤιξε.
18. Cf. § I, 5, et § XIII, 2.
19. Chorikios désigne ordinairement Césarée par l'expression *ἡ Καίσαρος* (sans ajouter *πόλις*). Cf. *Éloge d'Aratios*, § XIII, 1, et la note 6.

ἀνθοῦσα καὶ πλούτῳ καὶ παντοδαποῖς ἀξιώμασι, πολλῶν τε καὶ καλῶν πόλεων ἡγεμὼν ἅμα καὶ μήτηρ ([20])· *οἱ ταύτην οἰκοῦντες μικρὸν ἀπὸ τοῦ ἄστεος — γινώσκετε, οἶμαι, τὸν χῶρον, οἱ μὲν ἑωρακότες οἱ δὲ πεπυσμένοι — ἐγκύκλιον ἄγουσιν ἑορτὴν οὐδὲ τοῦ λαχόντος τὴν πόλιν ἰθύνειν* ([21]) *ἀπόντος· ἡδεῖα δὲ καὶ πλήρης ἁβρότητος ἡ πανήγυρις αὕτη· ἀφικνεῖται γὰρ ἅπασα τῆς πόλεως ἡ σκηνή* ([22])· *παραγίνονται δὲ καὶ ῥήτορες ἄνδρες τὰ μίμων ὑποκρινόμενοι, οὐ φαύλως βεβιωκότες, οὐδ' εὐγλωττίᾳ λειπόμενοι τῶν ὁμοτέχνων* ([23]). [13] *Ἆρ' οὖν εἰ τῷδε τῷ πράγματι στιγμὴ προσῆν* ([24]) *ἀδοξίας, ἄρχοντος ἐναντίον κἀστῶν καὶ ξένων ἄνδρες ἐκεῖνοι τοῦτ' ἂν ἐπετήδευον;* [14] *Οὐδεὶς ἂν λέγειν ἀποτολμήσειε* ([25]), *κἂν πάνυ δύσερις ᾖ.*

§ XII. *Ὁμολογῶ μὲν γὰρ εἶναί τινας οἷς ἔνι ⟨α τῶν ἐν⟩ αὐτοῖς* ([1]) [fol. 159] *γινομένων διαθερμαίνειν τὴν φαντασίαν οὐδὲ θεάτρων χωρὶς ἠρεμοῦσαν.* [2] *Οὐ μὴν διὰ τοὺς ἀσελγῶς θεωροῦντας τὴν τῶν σεμνῶς θεωμένων ἀνάπαυλαν καταλῦσαι προσήκει· ὥσπερ οὐδὲ τῶν ἵππων τὴν ἅμιλλαν, ὅτι τῶν ἄθλων οἱ πλείους ἔτι μὲν συν[αν]ιστάμενοι τοὺς ἀκρατῶς ἔχοντας ἐν ἑκατέρᾳ μερίδι δύσφημα βοᾶν ἐκβιάζονται, πεπαυμένοι δὲ τοὺς ἡττημένους.* [3] *Εἰ δὲ καὶ διὰ πάντων ὧν οἱ τῆς θέας ὥρισαν νόμοι σταδίων ἄγοιτό τις τῶν ἄθλων καὶ παντοίας ἔχοι τύχης ἰδέας, ἐλπίδα τινὰ συνεχῆ νίκης ἀμφοτέροις διδούς, τίς ἂν ἐξαριθμήσειε τὰς ἑκατέρων ἐπιορκίας τὸν οἰκεῖον ἅμα καὶ τὸν ἀλλότριον διομνυμένων νικᾶν;* [4] *Καὶ τὸ μὲν ἄθλου συγκροτουμένου* ([2]) *τοιαῦτα παθεῖν ἄτοπον μέν, οὔπω δὲ τῆς ἄκρας μανίας τεκμήριον· ἀλλὰ πρὸ τῆς τὸν ἀγῶνα*

---

20. Voy. *Éloge d'Aratios*, § VIII, 2, et la note 4.

21. *οὐδὲ τοῦτο λαχόντες τὸ τὴν πόλιν ἰθάνειν* Ms. (*το* écrit au-dessus de *τες* par un reviseur, afin qu'on lût correctement *λαχόντος*, n'aura pas été compris et aura été introduit dans le texte à la suite de *λαχόντες*: *τοῦτο* pour *τοῦ* semble être une prétendue correction de copiste, qui sera venue à la suite de la première faute.) Cf. ci-dessous, 13, *ἄρχοντος ἐναντίον*.

22. On sait la multitude de mimes et d'histrions de toutes sortes que produisait la Syrie sous l'Empire (voy., au surplus, les textes de Grysar, *Der Römische Mimus*, p. 48): il n'y a rien d'étonnant que Césarée de Palestine possédât une nombreuse troupe de mimes.

23. Cf. *Éloge de Marcien*, I, p. 109, l. 3, Boisson., *πλήθει τε λόγων καὶ τρόπῳ καθεστηκότι τὰ πρῶτα φέροντι τῶν ὁμοτέχνων*.

24. *προσῇ* Ms.

25. Eschine, *Ctésiphon*, § 131, p. 521, *ἀπετόλμησε λέγειν*: § 160, p. 547, *ἀπετόλμα δὲ λέγειν*.

τ

§ XII.] 1. *ἐνιαυ* (le *τ* étant surmonté lui-même d'un signe qui ressemble un peu à l'abréviation de *ους*, mais davantage à celle de *οις*) Ms.

2. *ἄθλους συγκροτουμένου* Ms.

τελούσης (3) ἡμέρας οὐδὲν ἧττον εἰς ἐπιορκίαν ἐκφέρονται, καθ' αὑτοὺς μὲν ἀγωνιῶντες ἑκάτεροι, πρὸς δὲ τοὺς ἐναντίους ὀμνύντες ὡς αὐτῶν ἔσται τὸ κράτος, τῆς πρὸς τὸν ἀγῶνα φιλονεικίας οὐκ ἐώσης αὐτοὺς ἐννοεῖν ὡς ἀνάγκη τοὺς ἑτέρους ἐπιορκεῖν· ἀληθέστερον δ' εἰπεῖν ἀμφοτέρους, ἄλλων ἐν ἄλλοις ἄθλοις ἀποτυχόντων τῆς ἐνόρκου μαντείας. [5] Εἶτα διὰ τούτους ἀναιρήσομεν θέαν ἣν Ἀπόλλωνι τῷ Δηλίῳ προσέθεσαν Ἀθηναῖοι (4); [6] Ἀλλ' οὐ δίκαιον τοὺς ἐκπίπτοντας τοῦ σκοποῦ τῶν πραγμάτων αἰσχύνην τοῖς πράγμασι φέρειν. [7] Γαμοῦσι γὰρ ἄνθρωποι πολλοὶ μὲν ὀρεγόμενοι τέκνων, πολλοὶ δὲ πρὸς ἡδονήν· αὐτάς θ' ἃς ἄγομεν θεῶν πανηγύρεις (5) οἱ μὲν ὁσίως τελοῦσιν, οἱ δὲ πρόφασιν ἀσωτίας ποιοῦνται. [8] Οὕτως ἄρα κἀκεῖναι, αἳ πάντων εἰσὶ τῶν ἐν ἀνθρώποις τὸ μέγιστον, ἔχουσι δήπου τινὰς οὐχ ὡς ἔδει χρωμένους. [9] Οὐ . . . . . θησόμεθα (6) νόμον μὴ χρῆναι γάμῳ χρῆσθαι, μὴ θείαν ἄγειν πανήγυριν· οὐ γὰρ ἀντὶ τοῦ κολάζειν τὸ φαῦλον δεῖ τὸ χρηστὸν ἀδικεῖν. [10] Ἀλλὰ μὴν τῆς ὑγιείας, εἴπερ τινὸς ἄλλου, πρόνοια (7) καὶ σπουδὴ πᾶσι μὲν ἔστιν (8) ἀνθρώποις, μάλιστα δὲ τοῖς νόσων πεπειραμένοις· ἡ γὰρ ἐκ τούτων ὀδύνη τὴν (9) ἐκείνης ἐμφαίνει σαφῶς εὐφροσύνην, ἐπεὶ καὶ πᾶν ἀγαθὸν ἥδιον φαίνεται τοῖς οἷον τοὐναντίον πέφυκεν ἐγνωκόσι. [11] Λέγεται τοίνυν τις ἀήθει νόσῳ περιπεσὼν πολλῶν μὲν ἰατρῶν εἰς πεῖραν ἀφῖχθαι, μηδένα δὲ κρείττω τοῦ πάθους εὑρεῖν. [12] Ὡς δὲ τὸ κακὸν ἄμαχον ἦν καὶ μάτην ἄλλοτ' ἄλλα προσήγετο φάρμακά τε καὶ ποτὰ καὶ σιτία, τούτων δή τινα τῶν γελωτοποιῶν

---

3. Cf. § V, 2, et la note 2.

4. Thucydide, III, 104 (à la fin), οἱ Ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν (il s'agit des jeux Déliens) καὶ ἱπποδρομίας, ὃ πρότερον οὐκ ἦν.

5. Ἔστι δὲ (Χορίκιος) καὶ τῆς εὐσεβείας ἐραστής, τὰ χριστιανῶν ὄργια καὶ τεμένη τιμῶν· πλὴν οὐκ οἶδ' ὅπως ὀλιγώρως καὶ λόγῳ σὺν οὐδενὶ μύθους καὶ ἱστορίας Ἑλληνικάς, οὐ δέον ὄν, ἐγκαταμίγνυσι τοῖς ἑαυτοῦ συγγράμμασιν, ἔστιν ὅτε καὶ ἱερολογῶν. (*Ex Phot. Biblioth. cod. CLX.*) Cf. les renvois de Boissonade, à propos de ce texte, p. viij de son édition de Chorikios, note 2; et, dans le présent discours, § VII, 2, ναὶ μὰ Δία: § VI, 13, ναὶ μὰ τὸν Ποσειδῶ (conjecture, à la note 22): § XIX, 9, πρὸς θεῶν: 10, νὴ Δία: § XIV, 4: et surtout les passages suivants, § III, 11: § VI, 4-5: § XVII, 5: § XX.

6. οὐ θησόμεθα Ms.: le sens réclame quelque chose comme οὐ ⟨μέντοι⟩ θησόμεθα, ou bien οὐ ⟨μὴν ἀλλ' οὐ⟩ θησόμεθα.

7. πρόνοια est le dernier mot de la dernière ligne du *folio* 159 *recto*. On lit dans le manuscrit au-dessous de ce mot, — c'est-à-dire à la place qu'occupent ordinairement les réclames, quand il y en a, — καὶ ν͠ῦν (traces de grattage sous ὖν). Le *folio* 159 *verso* commence sur les mots καὶ σπουδή.

8. Peut-être πᾶσι μὲν ⟨ἐν⟩ εστιν ἀνθρώποις.

9. Peut-être τὴν ⟨ἐξ⟩ ἐκείνης.

[illegible] βουλόμενος [illegible] φαντασίαν [illegible] [10]. [3] Πῶς τις ἂν [illegible] [11] πᾶσιν [illegible].

§ XIII. [illegible] ἐμοὶ δὴ [illegible] [1] [illegible] [2] Τί γάρ [illegible] ὡς αὐτὸς [illegible] [2] [illegible] [3] [illegible] [4] [illegible] [illegible] ἢ [illegible] [5] [illegible] ἐξ [illegible] [illegible] δοκεῖ [illegible] [illegible] [illegible] [4] Εἰ δὲ [illegible] [illegible] [illegible] [6] [illegible]

(10) [illegible] — Le sens [illegible]

(11) [illegible] Ms.

§ XIII. (1) [illegible] de première main Ms., [illegible] à la marge, toujours de première main, [illegible]

2. [illegible]

3. Cf. § [illegible]

4. [illegible] Ms.

5. Cf. [illegible] lui-même [illegible] représentations [illegible]

6. [illegible] Ms.

7. Cf. [illegible] p. 3 [illegible] p. 108 [illegible] p. 5 [illegible]

βης εἴργει με [fol. 160] φόβος, νόμος δέ τις ἡμῖν ἐπιχώριος, οὐ τοῖς πανταχοῦ παιδευταῖς ὡρισμένος· τοιγαροῦν ἀνὰ τὴν Φοινίκην ἅπασαν, εἰ διδασκάλων τις ἀθέατος εἴη(8), δύσκολος εἶναι καὶ δυσάρεστος ὑποπτεύεται· πλὴν εἰ καὶ δώσομεν πανταχοῦ κύριον εἶναι τὸν ἐνταῦθα κρατήσαντα [τὸν] νόμον, οὐ μίμοις τοῦτο γίνεται ψόγος· ἦ γὰρ (9) ἂν ἀποβάλλοιμεν (10) ἱπποδρομίας καὶ κυνηγέσια καὶ χοροὺς ᾄδοντας κὤρχησιν καὐλοὺς καὶ χορδῶν ἁρμονίαν — τούτων γὰρ οὐδενὶ παιδευταῖς νενόμισται παραβάλλειν —· ὥστε νόμῳ πόλεως ἀκολουθοῦντες οὐ θεώμεθα μίμους, ἀλλ' οὐ δεδιότες μή τι βλάβος ἡμῖν ἐντεῦθεν ἐμπέσῃ. [6] Πολλὰ γὰρ τῶν ἐπὶ σκηνῆς τελουμένων(11) παιγνίων ἐκ προοιμίων εἰς τέλος οὐδὲν ἔξω σεμνότητος ἔχει. [7] Δόξαις ἂν ἄνδρα βλέπειν καθεστηκότα σωφρονεῖν παραινοῦντα τῇ συνοικούσῃ καὶ φεύγειν τῶν φιλαιτίων τὰς λοιδορίας· ἔνι καὶ στρατιώτας ἰδεῖν, καὶ ῥητόρων ἀκοῦσαι, δυεῖν ἐνίοτε μίμων τοῦ μὲν ἀλόγιστόν τινα μιμουμένου, τοῦ δὲ καλῶς ἐν λόγοις ἀχθέντα, ὥστε γελωμένου μὲν ἐκείνου, κροτουμένου δὲ τούτου (12), λογισμὸς εἰσέρχεται τοῖς θεωμένοις ὡς δεῖ παίδευσιν μὲν ἀγαπᾶν ὅπως ἐπαινοῖντο(13), ἀμαθίαν δὲ φεύγειν ἵνα μὴ σκωμμάτων γένωνται πρόφασις. [8] Τίς δ' οὐκ ἂν ἀπείποι καταλέγειν ἐπιχειρῶν ὅσα μιμοῦνται; δεσπότην, οἰκέτας, καπήλους, ἀλλαντοπώλας (14), ὀψοποιούς, ἑστιάτορα, δαιτυμόνας, συμβόλαια γράφοντας, παιδάριον ψελλιζόμενον, νεανίσκον ἐρῶντα, θυμούμενον ἕτερον, ἄλλον τῷ θυμουμένῳ πραΰνοντα τὴν ὀργήν. [9] Τί οὖν ἅπαντά μοι παραδραμὼν σχῆμα πεπορνευμένου φέρεις εἰς μέσον; ἢ τοῦτο μόνον ἡμῖν τυγχάνεις τεθεαμένος; [10] Τί δέ; τοῦτο μὲν τοὺς ὁρῶντας θηλύνειν ὑπολαμβάνεις, τῶν δὲ βελτιόνων σχημάτων οὐδὲν πρὸς ἑαυτὸ μεταφέρειν οἴει τοὺς θεατάς; [11] Καίτοι τὸ μὲν νόσος ἐστὶ φύσεως ὅρον ἐκβᾶσα, τὰ δὲ ζηλοῦν τε καὶ πράττειν ἡ φύσις ἐνομοθέτησε.

---

8. Sur cet optatif, cf. ci-dessous la note 13.
9. Voy., sur ἦ γάρ, Viger, *De praecipuis Graecae dictionis idiotismis*, p. 411 (4e éd.).
10. Peut-être ἐκβάλλοιμεν. Cf. § XVII, 3, ὥστε μίμων ἐκβεβλημένων συναπελαύνονται τούτοις οἱ μείζονα βλάπτοντες. (Weil.)
11. Cf. § V, 2, et la note 2.
12. δὲ τούτου] δὲ ἐκείνου Ms.
13. Chorikios, comme on l'a déjà fait observer à plusieurs reprises en publiant l'*Éloge d'Aratios* (voy., par ex., § VII, 8, et la note 8), emploie l'optatif là où peut-être les Attiques ne l'auraient pas mis. Cf. encore ci-dessus, 5, εἰ διδασκάλων τις ἀθέατος εἴη. — A la ligne suivante, cf., pour πρόφασις, § XII, 7.
14. Était-ce, dans les mimes, un souvenir du personnage des *Chevaliers* d'Aristophane?

§ XIV. Βούλει τὴν ἐκ τοῦ πράγματος ὄνησιν [fol. 160 v°] ὀρθῶς (1) ἐξετάσαι; [2] Σκόπει τὰ μέγιστα τῶν ἀνθρωπείων κακῶν, ὀργήν τε καὶ λύπην, ὧν ἡ μὲν τῶν ἰδίων ἐξίστησι λογισμῶν — εὖ (2) γὰρ ἔφη τις τὸν θυμὸν μανίαν ὀλιγοχρόνιον εἶναι —, τὰ πλεῖστα γὰρ (3) ἅπασιν ἀρρωστήματα λύπῃ (4) κατὰ τὴν τραγῳδίαν (5) συμβαίνει· οὐδένα δὲ ῥᾴδιον ἀμφοῖν ἀπηλλάχθαι (6), ἀλλὰ τὸν μὲν ἀνιᾷ τι, τὸν δὲ παροξύνει (7), τισὶ δ' ἀμφότερα ταῦτα παρενοχλεῖ. [3] Ἤδη τις νουθεσίαις (8) οἰκείων (9) ἢ φίλων οὐδὲν ἐνδιδοὺς μίμους θεασάμενος ἐφαιδρύνθη, τὰ μὲν εἰς τούτους ὁρῶν, τὰ δὲ λογιζόμενος ὡς κἄλλους εἰκὸς ἐν πλήθει καθῆσθαι τοσούτῳ (10) πάσχοντας μὲν αὐτῷ παραπλήσια, μειδιῶντας δ' ὅμως· ὥστε, κἂν μὴ βεβαίας ἰάσεως τύχῃ, τόν γε τοῦ θεάματος χρόνον κουφότερον ἕξει. [4] Ἵππων μὲν οὖν ἀγῶνες ἐκμαίνουσι (11) μᾶλλον ἢ τέρπουσι τὰς τῶν θεωμένων ψυχάς, καὶ πολλὰς ἤδη καὶ μεγάλας ἀνέτρεψαν πόλεις· μῖμοι δὲ τέρψιν ἀπράγμονα καὶ στάσεως ἐλευθέραν καὶ ταραχῆς ἐπιδείκνυνται καὶ μάλα (12) συμβαίνουσαν τῷ Διονύσῳ. [5] Κἀνταῦθα μὲν οὐδεὶς σύννους οὕτω καὶ κατηφὴς (13),

---

§ XIV.] 1. Cette page est tout entière de la même main que le folio 158 recto (voy. la note 19 du § X).

2. *Εὖ ἔφη τις τὸν θυμὸν μανίαν ὀλιγοχρόνιον εἶναι*, fragment *πα'* chez Boissonade, p. 297, avec cette note: « Themistius Orat. 22, p. 328, *ἐγὼ δὲ οἶμαι τὴν ὀργὴν μανίαν ὀλιγοχρόνιον εἶναι*. Quod etiam dixit et Orat. 1, p. 7. Seneca De ira 1, 1, 2, *Quidam itaque e sapientibus viris iram dixerunt brevem insaniam*. Ibi Ruhkopf. Horatius Epist. 1, 2, 62, *Ira furor brevis est.* » Orelli dans une note sur le passage cité d'Horace, rapproche encore Philémon, p. 417, Meineke, *μαινόμεθα πάντες, ὁπόταν ὀργιζώμεθα*, et Caton l'Ancien chez Stobée, XX, 68, *τὸν ὀργιζόμενον νόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν*. Cf. Galien, *Diagnostic et traitement des passions*, chap. 5 (t. V, p. 22), *ὅτι γὰρ ὁ θυμὸς οὐδὲν ἀποδεῖ μανίας, ἐξ αὐτῶν ἤδη ὧν ποιοῦσιν οἱ θυμούμενοι μαθεῖν ἔστιν*: H. Estienne, au *Thesaurus*, s. v. *ὀλιγοχρόνιος*, « *Medici ὀλιγοχρόνιον μανίαν, Furorem s. Insaniam brevi durantem tempore dixerunt..., quae... levi de causa exorta, statim evanescit.* » (Nous ignorons à quel texte des médecins grecs Estienne fait ici allusion.)

3. Lire *τὰ πλεῖστα δ' ἅπασιν*?

4. *λύπη* Ms.

5. Cf. *Éloge d'Aratios*, § V, 3 et la note 7.

6. Cf. § IV, 7, et la note 4.

7. *τὸν δέ ⟨τι⟩ παροξύνει*?

8. *νουθεσίας* Ms.

9. D'abord *οἰαείων* (?), changé (peut-être de seconde main) en *οἰκείων* Ms.

10. *τοιούτῳ* dans le texte, *τοσούτῳ* à la marge (de première main) Ms.

11. *ἐκβαίνουσι* Ms.: *ἐκμαίνουσι* Tournier.

12. *μάλα*]. Nous n'avons pu déchiffrer le mot qui est ici dans le manuscrit: on dirait quelque chose comme *μώαλ* (ou *μάλλ*?) [avec α suscrit]. On a mis dans le texte *μάλα*, qui paraît convenir assez bien au sens.

13. Cf. *Éloge d'Aratios*, § XIII, 1, *μὴ ζηλώσας ἐκεῖνον τὸν κατηφῆ καὶ σύννουν Ἐπαμεινώνδαν*, et la note afférente à ce passage.

ὃς οὐ φαιδρότερος ἔσται· ἐκεῖ δέ, πρᾶος οὕτω κεὔθυμός(14) *ἐστιν οὐδείς, ὃς οὐκ ἐξάπτεται καὶ βοᾷ καὶ φιλονεικίας ἐμπίπλαται καὶ θυμοῦ.* [6] *Τοιγαροῦν ἀποδέχομαι τῶν πόλεων τὴν ἐπίνοιαν αἷς νενόμισται μίμους ἐν ταῖς τῶν ἵππων ἁμίλλαις μεταξὺ παίζειν τῶν ἄθλων, ἵνα τοῖς θεωμένοις μαλάξωσι*(15) *τὴν ὀργήν, τὴν μὲν τῶν ἡττημένων πραΰνοντες λύπην, τὴν δὲ τῶν νενικηκότων ἀναστέλλοντες ὕβριν· κηλούμενοι γὰρ οἱ μὲν ἔλαττον ἀθυμοῦσιν, οἱ δὲ τὴν ἧτταν αὐτοῖς ὀνειδίζοντες παύονται, κἂν μὴ σύμπαν* [fol. 161] *τὸ*(16) *μέρος*(17), *ἀλλ' οἱ πλείους τὸν ἀριθμόν· κἂν ἡ πᾶσα τῶν νενικηκότων ἐπιμείνῃ* (18) *βοῶσα μερίς, ἧττον τῆς ἐναντίας οἱ πλεῖστοι βοώντων ἀκούσονται περὶ μίμους ἠσχολημένοι.* [7] *Ἱπποδρομίας μὲν οὖν κὤρχησιν ὑπεραίρει τὸ πρᾶγμα τῷ μηδὲν στασιῶδες τοῖς δήμοις ἐμβάλλειν, θαυματοποιοὺς δὲ καὶ τραγῳδίας ὑπόκρισιν μετιόντας* (19) *καὶ λύρᾳ χρωμένους τῷ μὴ κόρον διδόναι· ἐκείνων γὰρ οὕτως ἐνεπλήσθησαν ἄνθρωποι τῶν θεαμάτων, ὡς μόλις δημοσιεύειν* (20). [8] *Οὐ τοίνυν μόνον τοσαύτην ὑπὲρ αὐτῶν ἀφθονίαν χορηγοῦσι δικαιωμάτων, ἀλλὰ καὶ τὴν πολιτείαν ἡμῖν οὐ μικρὰ πολλάκις εὐεργετοῦσιν, ἄρχοντας ἐν καιρῷ τοῖς σκώμμασι σωφρονίζοντες.* [9] *Ἀναβαίνει γὰρ αὐτοῖς καὶ μέχρι*(21) *δυναστείας ἡ παρρησία*(22)· *καὶ τῶν μὲν*

---

14. *καὶ ἄθυμός* Ms.: *κεὔθυμός* Tournier.
15. *μαλάζωσι* première main (il semble qu'une main postérieure ait voulu corriger *μαλάξωσι*) Ms.
16. Avec le *folio* 161, la main qui a écrit la plus grande partie de ce discours reprend (voy. § X, note 19).
17. *μέρος* = *party of the Circus* (Sophocles, *Greek Lexicon of the Roman and Byzantine periods*, s. h. v.: nombreux exemples). *Μερίς* a le même sens plus bas dans cette même phrase, et aussi chez saint Grégoire de Nazianze, t. XXXVI, col. 304 A, Migne.
18. Peut-être vaudrait-il mieux écrire *ἐπιμένῃ*?
19. L'orateur fait allusion à des représentations de tragédies classiques. Bien que ce spectacle devînt de moins en moins goûté (Grysar, *Der Römische Mimus*, pp. 47-49), on voit par les inscriptions et chez les auteurs qu'il se donna encore de temps en temps des représentations de ce genre dans diverses parties de l'empire, jusque sous le règne de Justinien. (*Ibid.*, p. 47.) Le témoignage de Chorikios vient s'ajouter aux textes que l'on connaissait déjà. (Il est de nouveau question des acteurs tragiques plus bas, § XVII, 2.) — L'omission de l'article devant *μετιόντας* et *χρωμένους* est à noter.
20. Cf. Théophane, *Chronographie*, p. 281, l. 2, Classen, *ἕκαστος ἐλεύθερος ὅπου θέλει ἀκινδύνως δημοσιεύει* (*tuto atque impune in publicum procedere potest*).
21. *με* (surmonté de *χρι*) (à ce qu'il semble) Ms.
22. Tout le monde a présentes à la mémoire les plaintes de Labérius, que César avait contraint, quoiqu'il eût le rang de chevalier, de monter sur la scène pour représenter lui-même ses mimes (Macrobe, *Saturnales*, II, 7). Grysar (*Der Römische Mimus*, p. 27) cite quelques exemples carac-

ἡγεμόνων οἱ φίλοι τὸν ὄγκον ὑποστέλλονται τῆς ἐξουσίας, κἂν ἴδωσί τι ποιοῦντας ἀνάξιον τῆς ἀρχῆς οὐ θαρροῦσιν ἐπιτιμᾶν, μίμοις δὲ πάρεστι σκώπτειν ἀφόβως. [10] *Οὐ μὴν ἀποσκώπτουσι μὲν, ἀνόητοι δὲ περιφρονούμενοι γίνονται, ἀλλ' εὕροις ἂν τοὺς ἐνόχους ὄντας τοῖς σκώμμασιν ἢ πεπαυμένους ἢ σπανιώτερον ἁμαρτάνοντας ἢ πειρωμένους ἐπισκιάζειν ἃ πρόσθεν ἀνέδην ἐτόλμων.* [11] *Παῦσαι τοίνυν αὐτοῖς λοιδορούμενος, μή που καὶ σὲ δικαίως ἀμυνόμενοι σκώψωσι.* [12] *Ποιοῦνται δὲ τὴν ἐπίπληξιν ἐφ' οἷς ἂν ταύτῃ χρήσασθαι δέῃ*(23) *οὐ πικρὰν οὕτω κἄκρατον, θέλγουσαν δέ πως ἅμα καὶ δάκνουσαν, τῇ συνήθει κεράσαντες χάριτι.*

§ XV. *Ἀλλὰ τούτων οὕτω σαφῶς δεικνυμένων, οὐδὲν, φησὶν, ἀπᾴδουσι τῶν Ἡσιόδου κηφήνων*(1), *οἳ τὰ τῶν ἐργαζομένων ἀργοῦντες αὐτοὶ κατεσθίουσι· καὶ δαπανῶσι μὲν τὰ τῶν εὐπορούντων οὐδὲν ἢ τρυφᾶν*(2) *ἐπιστάμενοι, τοῖς δὲ πενομένοις ἐμπόδιον γίνονται πρὸς τὴν θέαν αὐτοὺς ἐκ τῶν οἰκείων ἕλκοντες ἔργων· ἀμέλει γὰρ ὡς ἀργοὶ μελέτης οὐ δέονται, ἀλλ' ὑποβεβρεγμένοι καὶ τὴν γαστέρα πληροῦντες τὰ αὐτῶν*(3) *ἐπιδείκνυνται τοῖς θεωμένοις.* [2] *Πῶς οὖν ἦθος φυλάττειν, πῶς δ' ᾄδειν*(4) *ἐμμελῶς μεθύοντας ἔνεστι;* [3] *Δεῖ γὰρ καὶ φωνὴν εὐφραίνουσαν ἔχειν καὶ ῥέουσαν γλῶτταν ἑτοίμως — μῖμος γὰρ διλογῶν ἢ προσπταίων*(5) *συρίττεται μᾶλλον ἢ ῥήτωρ τοῦτο*(6) *παθών —· δεῖ καὶ χορεύ-*

-téristiques des libertés que prenaient impunément les mimes de Rome vis-à-vis des empereurs mêmes (voy. Capitolin, *Les deux Maximins*, 9: *Marc-Aurèle*, 29).

23. *δέῃ* (*οι* au-dessus) Ms.

§ XV.] 1. Hésiode, *Travaux et Jours*, v. 303 et suiv.:

ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὁρμήν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες.

Cf. *Théogonie*, v. 595.

2. *οὐδενὶ τρυφᾶν* Ms. Sur l'emploi de *οὐδὲν ἤ* pour *οὐδὲν ἄλλο ἤ*, voy. Fischer, *Animadv. ad Welleri grammat. Graec.*, III, 1, p. 250: et Schaefer sur Lambert Bos, *Ellipses Graecae*, p. 879. Cf. Hypéride, *Euxénippe*, col. XXI, ll. 3-4, *οὐδενὸς ἂν μνησθείην ἢ τούτου.*

3. *τὰ αὐτῶν*, hiatus. — Pour l'expression, cf. § I, 5, *τὰ μίμων*. — Le mot précédent, *πληροῦντες*, ne va pas. Faut-il *πλήθοντες*? Cf. Eschyle, *Agamemnon*, 1220, *χεῖρας κρεῶν πλήθοντες.* On sait combien la langue byzantine s'approprie volontiers les mots poétiques.

4. Les *cantica* semblent avoir été une partie esssentielle du mime: voy. là-dessus Teuffel, *Geschichte der Römischen Literatur*, 8, 11: cf. ci-dessous § XVI, 1-5, et la note 1.

5. H. Estienne, au *Thesaurus*, aux articles « *δισσολογέω*, sive *διττολογέω*, et *διλογέω* » et *προσπταίω*: « Synes., de quodam memoriter pronuntiante carmina, *τούτους τοὺς στίχους ἀποδίδωσιν, οὐ προσπταίων, οὐ δισσολογῶν,*

ειν ἐπίστασθαι καὶ μὴ φθέγγεσθαι μόνον ἐπιδεξίως, ἀλλὰ καὶ βλέμματι θέλγειν(7), κἂν δέῃ δοκεῖν αὐτὸν ἀπατᾶσθαι, ὁρῶντα μὴ ὁρᾶν, τὸ τοῦ λόγου (8), καὶ ἀκούοντα μὴ ἀκούειν, ὅπως μηδὲν ἀπολείπῃ (9) χάριτος ἥδυσμα· κἂν ἅπαντα ταῦτα τύχῃ μόνα λαχών, πολλῶν ἐστιν ⟨ἔτ'⟩ ἐνδεής· οὐ γὰρ ἐπιλήσμονα δεῖ πεφυκέναι, μή τι τῶν ἔξω μελετηθέντων ἔνδον αὐτὸν διαφύγῃ, οὐδὲ παρρησίας ἐνδεέστερον εἶναι — δειλία γὰρ μνήμην ἐκπλήσσει —. [4] Σὺ μὲν οὖν οἴει τοὺς μίμους ἐμπόδισμα γίνεσθαι τοῖς ἀπὸ τῶν χειρῶν τρεφομένοις· ἐγὼ δὲ μείζονος αἰτίους ὁρῶ προθυμίας(10). [5] Ὥσπερ γὰρ οὐ τὸν μέτριον ὕπνον φαμὲν κώλυμ' εἶναι τοῖς ἔργοις, ἀλλὰ τὰ μέγιστα τούτοις λυσιτελεῖν ἐπιρρωννύντα τὸ σῶμα, καὶ τοὺς μακρὰν πορευομένους ὁδὸν τὰς ἐν μέσῳ καταγωγὰς οἰόμεθα προθυμοτέρους ποιεῖν, ὅταν αὐτοῖς ἢ δένδρου σκιᾶς ἢ πηγῆς ἢ λουτροῦ τινος ἀπολαύειν ἐξῇ (11)· οὕτω καὶ σύμμετρος ἐκ τῆς θέας ἀνάπαυσις σπουδαιότερον ἔχεσθαι τῶν ἔργων παρασκευάζει, ὥστε τοὺς ἐργαζομένους διπλοῦν εἰκότως μισθὸν ἐποφείλειν τοῖς μίμοις, εὐφροσύνης τε καὶ σπουδῆς. [6] Ὅθεν πρὸς ἐμαυτὸν τοιαῦτά μοι λέγοντας ἀναπλάττω· « μὴ λάθῃ σε τῶν μίμων ὁ κατήγορος ἀπατήσας· οὐδὲν ἡμῖν ἐμποδὼν (12) ἐστιν ἡ θέα, ἀλλὰ καὶ τοῦ συνήθους ὀξύτερον προτρέπει μᾶλλον ἐργάζεσθαι τοὺς ἀπολαύειν ἐπειγομένους· διὰ ταύτην καὶ νύκτωρ πληροῦσί τινες ὃ μεθ' ἡμέραν ἔργον ποιεῖν ἐβουλεύοντο. [7] Οὐ γὰρ πενία

οὐκ ἐφιστάμενος ἐφ' ᾧ τὴν ἀνάμνησιν ἀθροῖσαι.» Προσπταίω = « s'arrêter en récitant ». Δισσολογῶ ou διλογῶ = « bégayer, répéter en récitant ». L'idée contraire à celle de ces deux verbes est exprimée dans la phrase suivante par φθέγγεσθαι ἐπιδεξίως. Pour προσπταίω, cf. Aristote, *Problèmes*, 11, 60, προσπταίοντες ἐπίσχουσιν ὥσπερ οἱ ὀργιζόμενοι. Quant à δισσολογῶ chez Synesios et διλογῶ ici chez Chorikios, ce sont des exemples uniques de ces verbes dans ce sens.

6. Vaut-il mieux écrire ταὐτὸ?

7. On sait que les mimes jouaient sans masque. Cf., p. ex., Athénée, X, p. 452 F, Κλέων ὁ μίμαυλος ἐπικαλούμενος, ὅσπερ καὶ τῶν Ἰταλικῶν μίμων ἄριστος γέγονεν αὐτοπρόσωπος ὑποκριτής.

8. τὸ τοῦ λόγου, « comme dit le proverbe »: voy. Schaefer sur Lambert Bos, *Ellipses Graecae*, p. 917.

9. ἀπολείποι, et ainsi un peu plus bas διαφύγοι, Ms.

10. Comparez le développement qui commence ici avec le passage suivant de l'*Éloge de Marcien*, II, p. 124, l. 12 et suiv., Boisson., οὐ μὴν τῶν ἑορτῶν ἡ πυκνότης τοῖς ἔργοις λυμαίνεται, πόνων ἀτέλειαν ἔχουσα· ἀλλὰ μᾶλλον τὰς τέχνας αὗται κοσμοῦσι, προθυμοτέρους ποιοῦσαι τοὺς μετιόντας, ὥσπερ τοὺς μακρὰν πορευομένους ὁδὸν αἱ μεταξὺ καταλύσεις, δένδρων, ἂν οὕτω τύχῃ, σκιάν, πῦρ τε μέτριον καὶ πηγὴν ἀψοφητὶ ῥέουσαν ἔχουσαι. Οἵ τε γὰρ πόνοι ταῖς ἑορταῖς κουφότεροι γίνονται, καὶ τοῖς πόνοις αὗται μᾶλλον ἡδίους.

11. ἐξῆν Ms.

12. Cf. *Éloge d'Aratios*, § VI, 2, οὐ τοὺς ὅρους τῆς φύσεως ἐμποδὼν πρὸς τὴν ὕβριν θεμένη. Voy. ci-dessus, 1, τοῖς δὲ πενομένοις ἐμπόδιον γίνονται, et, 4, ἐμπόδισμα.

μόνον ἐγείρει τὰς τέχνας, ἀλλὰ καὶ θέας ἐπιθυμία, καὶ νικᾷ τὴν ἐκ τῆς ἀγρυπνίας ταλαιπωρίαν ἡ τῆς ἐκ τοῦ θεωρεῖν εὐθυμίας (13) *ἐλπίς.»* [8] *Τοιούτοις οἱ χειροτέχναι διαθρυλοῦσί μοι λόγοις τὰ ὦτα* (14), *ὡς ἡδὺ μὲν τῆς τοιαύτης ἀπόνασθαι θέας, ἡδὺ δὲ τῆς σκηνῆς ἐξιόντας ἀπαγγέλλειν* (15) *τοὺς ἑωρακότας τοῖς οὐ τεθεαμένοις.* [9] *Εἶτα λέγεις λίχνους καὶ φιλοπότας εἶναι τοὺς μίμους. Καίτοι τῷ καταλόγῳ τῶν γνωρισμάτων* (16), *ἐξ ὧν ἔφαμεν χρῆναι μῖμον εὐδοκιμεῖν, καὶ τὸ φωνασκεῖν συνηρίθμηται,* [fol. 162] *ὥστε δεῖν ἑκατέρου νοσήματος* (17) *ἀπηλλάχθαι, ὅπως αὐτῷ μὴ βλάψῃ τὴν εὐφωνίαν σιτίων πλῆθος καὶ μέθη* (18).

§ XVI. *Βλάψειέ γε, φησίν, ὦ θεοί· αἰσχρῶν γὰρ ᾀσμάτων* (1) *ἀκρόασις — μίμοις δὲ ταῦτα* (2) *σύνηθες ᾄδειν — ὅσῳ ἂν* (3) *ἐμμελέστερον ἔχῃ, τοσούτῳ μᾶλλον ταῖς τῶν ἀκουόντων ἐπιβουλεύει ψυχαῖς, πλείονα μνήμην τῆς εὐφωνίας ἐργαζομένης· χῶσα μὲν πράττουσιν ἢ φθέγγονται μῖμοι μόνους βλάπτειν τοὺς παρόντας ἰσχύει, τὰ δὲ τούτων ᾄσματα καὶ κόρην οἴκοι καθημένην κοσμίως εἰς ἀκράτειαν μεταφέρει, τῶν ἔξω τὰ τοιαῦτα πυκνὰ μελῳδούντων, οὐδὲ ταύτην ἐώντων ἀνήκοον εἶναι.* [2] *Εἶτά σοι τοσαύτην ἔχειν δοκεῖ μίμων ᾄσματα ῥώμην, ὡς τρέπειν καὶ μεταπλάττειν τῶν ἀκροωμένων τὰς γνώμας;* [3] *Καὶ φύσις ἡ μὲν γίνεται, ἡ δ' ἀπόλλυται* (4)*· ὑποχωρεῖ μὲν ἡ κρείττων, ἡ δ' ἐναντία, ταύτης ἐξιούσης* (5), *τὴν ἐπὶ ψυχὴν πάροδον λήψεται;* [4] *Κἂν θυγάτριον ἔχῃς ὥραν ἄγουσαν ἤδη παστάδος, εἴ σοι τὴν οἰκίαν ᾄδοι τις παριών, δέδοικας μή, καταλείψασα τὸν ἱστὸν ἢ τὴν ἠλακάτην καὶ*

---

13. *ἐπιθυμίας* Ms. — Un peu plus bas, *διαθρυλλοῦσί* Ms.: mais voy. Cobet, *Miscellanea critica*, p. 221.

14. Cf. Platon, *République*, l. II, p. 358 C, *ἀπορῶ μέντοι διατεθρυλημένος τὰ ὦτα ἀκούων Θρασυμάχου καὶ μυρίων ἄλλων.*

15. Cf. § VI, 8, et la note 15.

16. *καταλόγῳ*, cf. § II, 3, et la note 2; *γνωρισμάτων*, cf. *Éloge d'Aratios*, § II, 1, et la note 4.

17. Cf. § IV, 5, *νοσεῖν ἀκρασίαν.*

18. Platon, *Lois*, l. II, p. 665 E, *καὶ ταὐτά γ' εἰ καθάπερ οἱ περὶ νίκης χοροὶ ἀγωνιζόμενοι πεφωνασκηκότες ἰσχνοί τε καὶ ἄσιτοι ἀναγκάζοιντο ᾄδειν οἱ τοιοῦτοι*: Suidas, *φωνασκεῖν· εὐφωνίαν ἀσκεῖν.*

§ XVI.] 1. Saint Jean Chrysostome, *Contre les jeux du Cirque et les spectacles*, t. VI, p. 274 E, Montfaucon, *γυναῖκα πόρνην ..... ᾄσματα ᾄδουσαν (ἐν τῷ θεάτρῳ) πορνικά, μέλη κατακεκλασμένα*: et, quelques lignes plus bas, p. 275 A, *τὰ μέλη τὰ πορνικά*. Cf. ci-dessus, § XV, 2, et la note 4.

2. Ne faut-il pas plutôt *τοιαῦτα*?

3. *ὅσῳ ⟨περ⟩ ἂν* ferait disparaître l'hiatus.

4. Platon oppose perpétuellement *γίγνομαι* et *ἀπόλλυμαι*; p. ex., *Parménide*, p. 156 B, *ὅταν μὲν γίγνηται ἕν, τὸ πολλὰ εἶναι ἀπόλλυται*. Voy. Ast, *Lexicon Platonicum*, t. I, p. 245.

5. *ἐξισούσης* Ms.

τὸν ἄτρακτον ἀπορρίψασα ἢ ὅ τι ἂν ἐργαζομένη τυγχάνῃ, παρακολουθήσῃ τῷ ᾄδοντι δελεασθεῖσα τῷ μέλει; [5] *Πόσου ἂν πρίαιτο*(6) *νέος σώφρονος κόρης ἐρῶν*(7) *τοσαύτην ἰσχὺν ἐν ταύταις εἶναι ταῖς μελῳδίαις ὅσην ὑπολαμβάνεις· πλεῖστα γὰρ ὅσα ταῖς θύραις προσᾴδων τῆς ἐρωμένης, παρὰ κωφοῦ θύραν ᾄδει, κατὰ*(8) *τὴν παροιμίαν*(9)*· τὴν δὲ κακῶς τεθραμμένην, κἂν ἄμουσος ᾖ τις, ῥᾳδίως ἐφέλκεται.* [6] *Οὐκοῦν εἰ μὴ πρότερον, ἀλλὰ νῦν μάνθανε ταῦτα.* [7] *Παραδέδωκέ τις ἀτόποις ἐπιθυμίαις τὸν λογισμόν; οὐδαμῶς αὐτὸν μεταρρυθμίσαι δυνήσῃ, κἂν μακρότερον τῆς Ἰλιάδος ἐγκώμιον ἐγκρατείας αὐτῷ διεξέλθῃς.* [8] *Σώφρων ἔφυ*(10) *τις ἕτερος; οὐ μετατίθῃς τὸν ἄνδρα, κἂν*(11) *διαρραγῇς ᾄδων αἴσχιστα μέλη.* [9] *Ἂν δὲ πύθῃ τὴν πρόφασιν, ἀποκρινοῦνταί σοι ταύτην ἄνδρες, σοφίαν μὲν ἄλλος ἄλλην ἐπιδειξάμενοι, πάντες δ' ἄμαχον εἰρηκότες τὴν φύσιν εἶναι.* [10] *Εὐριπίδης μὲν γάρ, ὁ Σοφοκλέους τῇ τοῦ θεοῦ κρίσει*(12) *σοφώτερος,*

⟨ἀ⟩λλ' ἄκρας (φησὶν) εὐηθίας(13)
ἅπτοιτ' ἂν ὅστις τὴν φύσιν νικᾶν θέλοι(14).

[11] *Πίνδαρος δέ, τὸ θρέμμα τῶν μελιττῶν, τόδ' ἔφη που*(15) *λέγων*

---

6. *πριᾶτο* Ms. — *Πόσου ἄν*, et un peu plus haut *τῷ ᾄδοντι* font hiatus. Peut-être y aurait-il lieu d'écrire *πόσου ⟨δ'⟩ ἄν*, et de retrancher *τῷ ᾄδοντι*.

7. *ὁρῶν* Ms. — Peut-être faudrait-il écrire ensuite *τὸ ⟨το⟩σαύτην*.

8. *ᾄδει κατὰ*] *ἄδειχτα* Ms.

9. Macarios Chrysocéphale, VI, 89, chez Leutsch, *Paroemiographi Graeci*, t. II, p. 200, *παρὰ κωφοῦ θύρας ἀλεῖν* (le ms. de Leutsch porte *ἀλεῖν:* Walz avait conjecturé heureusement *ᾄδειν*): *ἐπὶ τῶν μὴ προσεχόντων*. Cf. Aristénète, I, 28, p. 125, Boissonade, *παρὰ κωφὸν ᾄδειν δοκεῖς:* Libanios chez Boissonade, *Anecdota Graeca*, t. I, p. 167, *ἀλλ' ᾖδον, τὸ τῆς παροιμίας, ἐπὶ κωφῷ:* Virgile, *Bucoliques*, X, 8, *non canimus surdis*. Si l'on fait attention que le proverbe dont il s'agit se rencontre fort communément dans la littérature classique avec des variantes dans l'expression (voy. *Paroem. Gr.*, t. I, p. 370, note sur Grégoire de Chypre, III, 32), mais que Chorikios et Makarios Chrysocéphale le citent sous une même forme et qui leur est propre à eux deux — car *ἀλεῖν* n'est autre chose qu'une faute de copie —; si l'on se rappelle, en outre, que ce dernier auteur a fait entrer dans sa *Ῥοδωνιά* un grand nombre de «pensées» recueillies chez Chorikios, on sera amené à conclure que le proverbe 89e de la vie centurie de Makarios a été tiré du passage même de Chorikios qui fait l'objet de cette note.

10. *ἔφη* Ms.

11. *κἂν*] *καὶ* Ms.

12. Pour ce datif, cf. Sophocle, *Trachiniennes*, 718, *δόξῃ γοῦν ἐμῇ*.

13. *μακρᾶς φησιν εὐθείας* Ms. — *ἀλλ' ἄκρας* Tournier. — Chorikios a peut-être voulu imiter cette expression d'Euripide, au § XII, 4, *ἄτοπον μέν, οὔπω δὲ τῆς ἄκρας μανίας τεκμήριον*.

14. *θέλει* Ms. La leçon *θέλει* peut d'ailleurs aller, si *ὅστις* se rapportait à une personne déterminée, avec le sens de *quippe qui*. — Ce fragment d'Euripide paraît nouveau.

15. *Olympiques*, XI, 20-21, *τὸ γὰρ ‖ ἐμφυὲς οὔτ' αἴθων κτλ.*

οὔτ' αἴθων ἀλώπηξ
οὔτ' ἐρίβρομοι λέοντες μεταλλάξαιντο (16) *ἦθος.*

[12] *Οὔτε δεινότης, φησὶ, — τοῦτο γὰρ ἡ κερδὼ σημαίνει τῷ ποιητῇ — μετασκευάσαι δύναται γνώμην, οὔτε φόβος — τοῦτο γὰρ ὁ λέων ἐμφαίνει.* [13] *Καὶ μὴν ᾄσματ' ἐστὶ τὰ Πινδάρου ποιήματα, κἀπὸ τοῦ πασσάλου τὴν φόρμιγγα καθελὼν*(17) *ᾖδεν ἅμα κιθαρίζων*(18) *τὰ μέλη, ἀλλ' ὅμως αὐτός σοι διαρρήδην βοᾷ· μή μου τᾄσματα φύσεως ἀπαίτει κρατεῖν, κἂν ᾄδω πρὸς λύραν, οὔτε γὰρ αἴθων ἀλώπηξ οὔτ' ἐρίβρομοι λέοντες τοῦτ' ἂν δύναιντο.* [14] *Ὥσπερ οὖν Πίνδαρος ᾄδων οὐ ποιεῖ σωφρονεῖν τὸν ἀκόλαστον, οὕτως* (19) *ᾄδοντες μῖμοι τὸν ἐγκρατῆ καὶ σεμνὸν πρὸς αἰσχρὰς οὐ μεταφέρουσιν ἡδονάς.* [15] *Εἰ δέ με δεῖ καὶ ῥητορικήν τινα μαρτυρίαν προσθεῖναι — δεῖ δὲ, σοφιστὴν εἶναι πειρώμενον —, λέγει που ῥήτωρ τις, οὗ χάριτες οἱ λόγοι προσαγορεύονται*(20)*· «οὐκ ἂν γένοιτο χρηστὸς ὁ κακὸς ἐξ ἑτέρας εἰς ἑτέραν πόλιν ἐλθών.»* [16] *Οὕτω πάγιον ἀποφαίνονται πάντες εἶναι τὸ πεφυκός.* [17] *Πάρεστι δὲ τὰ τοῖς πάλαι σοφοῖς εἰρημένα βεβαιῶσαι τοῖς νῦν ὁρωμένοις· εὔδηλον γὰρ ὡς κἀκεῖνοι τοιούτοις ἐξ ὧν ἑώρων ἐχρήσαντο λόγοις.* [18] *Πόσοι δὴ φύλακες πρὸς ἡδονὰς ἐπειγόμενον κατέχειν δύνανται νέον;* [19] *Διεξεληλύθασί γε διὰ πάσης ἄνθρωποι φυλακῆς, ἀεί τι πλεῖον εἰς ἀσφάλειαν, ὡς ᾤοντο, προστιθέντες, εἴ πως τὴν ἀκρατῆ βιάσαιντο φύσιν· καὶ πλείστας ἡνίας μηχανησάμενοι, παιδαγωγοὺς, ἀπειλὰς, διδασκάλους, μάστιγας, χαλιναγωγεῖν οὐ δεδύνηνται.* [20] *Πόσας οἱ γυναικῶν ἐρῶντες κοσμίων ἐπάγουσι προσβολὰς ταῖς ἐρωμέναις, ἱκετείας, δάκρυα, μέλη, δώρων ἐπαγγελίας· αἱ δὲ μένουσιν ἄτρωτοι.* [21] *Γνοὺς τοίνυν ἐξ ἀμφοτέρων, ἔκ τε τῶν βελτιόνων ἔκ τε τῶν ἐναντίων, ὡς ἀμετάστατον ἑκατέροις ἡ φύσις, μὴ βούλου δοκεῖν ἀγροικότερος εἶναι τῷ πρὸς τᾄσματα φόβῳ, ἄλλως τε καὶ πολλῶν ἐν τούτοις ἀκοσμίας ἐχόντων οὐδέν.*

§ XVII. *Ἐπεὶ δὲ τὴν εὐφωνίαν 'ποστέλλεσθαι φὴς ὡς ἐπαρᾶσθαι ταύτης αὐτοὺς ἐκπεσεῖν, φέρε τι* (1) *καὶ πρὸς τοῦτό σοι*

---

16. Les manuscrits de Pindare portent *διαλλάξαιντο.*
17. Pindare, *Olympiques*, I, 27, *ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου || λάμβαν'.*
18. Tournier voudrait retrancher *ἅμα κιθαρίζων.*
19. *οὗτος* Ms.
20. Photios, *Bibliothèque*, manuscrit 61, p. 20 A, Bekker, *τοὺς μὲν λόγους αὐτοῦ* (c.-à-d. *Αἰσχίνου*) *τινες Χάριτας ὠνόμασαν κτλ.*
§ XVII.] 1. *φέρετέ τι* Ms.

λέξωμεν. [2] *Μῖμος γὰρ ἅπας, κἂν ἄγαν*(2) *εὔφωνος ᾖ, τὰ δεύτερα φέρει τραγῳδίας ὑποκριτοῦ*(3), *ὃς νῦν μὲν εἰσέρχεται παῖδα φ⟨ονέ⟩α*(4) [fol. 163] *μητρὸς ⟨ὑποκρινόμενος⟩, νῦν δὲ μητέρα ξίφος ἐπιφέρουσαν τέκνοις ὑπὸ ζηλοτυπίας ἐρωτικῆς*(5). [3] *Εἰ τοίνυν ἐκείνων ἀτοπώτερα ταῦτα καὶ μίμων φωνῆς ἡ τούτων καθέστηκε κρείττων, διχόθεν οὗτοι μίμων ἐλέγχονται βλαβερώτεροι, ὥστε, μίμων ἐκβεβλημένων συναπελαύνονται τούτοις οἱ μείζονα βλάπτοντες· μᾶλλον δὲ διώκων μέν τις ἐκείνους τάχα φείσεται μίμων, εἴπερ ἧττον λυμαίνονται, τούτους δὲ φυγῇ ζημιῶν ἐκείνοις μείζονα σωφρονισμὸν ἐπιθήσει· ὥστε τῇ κατὰ τῶν μίμων ὀργῇ λανθάνεις ἑτέρους οὓς οὐ βούλει προπηλακίζων.* [4] *Τί οὖν ἐντεῦθε*(6) *συμβαίνει; κεκλεῖσθαι τὰ θέατρα*(7), *καὶ μάτην οὕτως ἑστάναι, ὃ πολὺ δεινότερόν ἐστι τοῦ καθελεῖν· καθαιρεθέντα μὲν γὰρ κατὰ βραχὺ τὴν μνήμην ἀπομαραίνει, ἑστηκότα δ' οὐκ ἐᾷ τοὺς ἐρῶντας ἐπιλανθάνεσθαι, ἀνάμνησις*(8) *δ' ἡδονῆς τελέως καταλυθείσης πικροτάτη γίνεται λύπη, ἐπεὶ καὶ τῶν ἀποβαλόντων τὰ φίλταθ' οἱ μεμνημένοι τῶν ἐπιλελησμένων εἰσὶν ἀθλιώτεροι*(9). [5] *Εἰ δὲ καθελεῖν ἡμῖν ἐπιτρέψεις, ἔλαττον μὲν ἡ καθαίρεσις, χρόνου προϊόντος, λυπεῖ, μείζονα δὲ τὴν δυσσέβειαν ἔχει πρὸς τὸν ἄρχειν θεάτρου λαχόντα θεόν*(10).

§ XVIII. *Πάνυ τοίνυν εἰκότως ἂν ἐμαυτοῦ καταγνοίην, εἰ κωμῳδίας πολλαχοῦ μνημονεύσας τοῦ λόγου, ἐκεῖνο παραλιπεῖν καρτερήσω.* [2] *Φασὶ τὸν εὑρηκότα τὴν ὑπὲρ ἧς ἀγωνίζομαι τέχνην*(1), *ἐξ οὗ πάντα φησὶν ἀπαγγέλλειν ὁ προσηγορίᾳ μὲν δευτε-*

2. *ἄγων* Ms.: *ἄγαν* Tournier.
3. Sur les représentations de tragédies à cette époque, voy. § XIV, 7, et la note 19.

4. *φ . . .α* (lettres disparues) Ms.
5. Allusions aux tragédies des Choéphores, d'Électre, de Médée.
6. La forme *ἐντεῦθε* est donnée de même par le manuscrit dans l'*Éloge de Marcien*, II, p. 116, l. 16, Boisson., *καλῶν εὐπορήσουσιν ἐντεῦθε παραδειγμάτων.* On a rencontré plus haut, § VIII, 18, *οἴκοθε* pour *οἴκοθεν*.
7. Les représentations de mimes au théâtre furent abolies un siècle et demi après Chorikios par un canon du concile dit «*Concilium Trullanum*», en l'an 706. Hardouin, *Acta concil.*, t. III, p. 1681, canon 51, *καθόλου ἀπαγορεύει ἡ ἁγία καὶ οἰκουμενικὴ σύνοδος αὕτη τοὺς λεγομένους μίμους καὶ τὰ τούτων θέατρα... καὶ τὰς ἐπὶ σκηνῶν ὀρχήσεις ἐπιτελεῖσθαι.* Alors les mimes, selon Grysar (*Der Römische Mimus*, p. 103), se réfugièrent au Cirque, où les avaient précédés les danseurs, ainsi que les pantomimes.
8. *ἀνάμνησις ἡδονῆς ⁎ ἐπιλελησμένων εἰσὶν ἀθλιώτατοι*, fragment *πβ'* chez Boissonade, p. 297. (Cf. la note 11 du § VI, au *Nota*).
9. *ἀθλιώτεροι* Ms. Villoison d'après le manuscrit de Macarios Chrysocéphale et Boissonade d'après Villoison avaient édité *ἀθλιώτατοι*, mais Boissonade avait déjà proposé en note *ἀθλιώτεροι*.
10. Sur le paganisme de Chorikios, voy. plus haut § XII, 7, et la note 5.
§ XVIII.] 1. L'orateur veut parler de Philémon, l'inventeur de la «co-

ρος, τὴν τάξιν δὲ πρῶτος(2), ἐκεῖνον δὴ λέγουσι καὶ τὸν παῖδα τὸν Διοπείθους(3) ἡλικιώτας τ' ἄμφω καὶ φίλους ὅτι μάλιστ' εἶναι, συνάπτοντος καθ' Ὅμηρον τοῦ θεοῦ τοὺς ὁμοίους τὸν τρόπον(4), καὶ γνώμας ἐμμέτρους ἀλλήλοις ἀντιτιθέναι(5) καὶ μὴ χείρονα Μενάνδρου δόξαι τὸν ἕτερον· τοιοῦτον ἄνδρα διαβάλλειν ἐπιχειρεῖς.

§ XIX. Λοιπὸν(1) τοίνυν ἡμῖν πρὸς τὸ τῆς κουρᾶς εἶδος(2) καὶ τὸ ῥαπίζεσθαι(3) μεταβήσῃ, ψόγον ἐξ ἀμφοτέρων οἰόμενος μίμοις κατασκευάζειν. [2] Ἑκατέραν δέ σου κατηγορίαν εἰς απο-

---

médie nouvelle ». Il semble, ici et au § II, considérer le mime comme l'héritier de la comédie nouvelle. Cf. aussi Marc-Aurèle, XI, 6, (ἡ νέα κωμῳδία) κατ' ὀλίγον ἐπὶ τὴν ἐκ μιμήσεως φιλοτεχνίαν ὑπερρύη. Voy., à ce sujet, Welcker, *Geschichte der Griechisch-Römischen Tragödie*, p. 1433 et suivantes.

2. Phrase obscure: voy. l'Introduction, p. 38.

3. Le fils de Diopithe, c'est Ménandre.

4. ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
Odyssée, XVII, 218.

5. Allusion évidente à quelque composition du genre de la *Μενάνδρου καὶ Φιλήμονος* (*Φιλιστίωνος* manuscrit) *σύγκρισις*, publiée par Rutgers, *Variarum lectionum libri sex* (Leyde, 1618), pp. 356 et suiv., et très-probablement à cette *σύγκρισις* même. Meineke (*Menandri et Philemonis reliquiae*, p. VII) croit qu'elle a été composée à l'aide du recueil de Stobée: elle aura paru vraisemblablement peu de temps après la publication de ce recueil, qui ne remonte pas lui-même beaucoup au delà de l'époque de Chorikios. Cette *σύγκρισις* était sans doute encore une nouveauté littéraire quand il prononça ce discours sur les mimes. — Plus bas, dans cette même phrase: *ἕτερον*? ou *ἑταῖρον*?

καὶ τούτους (15) *δοκίμοις ἵπποις τε καὶ ὅπλοις κατεσκευασμένους παρέχωσι. τούτους μὲν καὶ ταῖς τιμαῖς αὔξει* (16) *καὶ δώροις μεγάλοις καταπλουτίζει, οὓς δ' ἂν εὕρῃ ἢ καταμελοῦντας ἢ κατακερδαίνοντας, τούτους χαλεπῶς κολάζει καὶ παύων τῆς ἀρχῆς ἄλλους ἐπιμελητὰς καθίστησι. Τῶν μὲν δὴ πολεμικῶν ἔργων ταῦτα ποιῶν δοκεῖ ἡμῖν ἀναμφιλόγως ἐπιμελεῖσθαι. Ἔτι δὲ ὁπόσην μὲν τῆς χώρας* (17) *διελαύνων ἐφορᾷ αὐτός, αὐτὸς καὶ δοκιμάζει, ὁπόσην δὲ μὴ αὐτὸς ἐφορᾷ, πέμπων πιστοὺς ἐπισκοπεῖται· καὶ οὓς μὲν ἂν αἰσθάνηται τῶν ἀρχόντων συνοικουμένην τε τὴν χώραν παρεχομένους καὶ ἐνεργὸν οὖσαν τὴν γῆν καὶ πλήρη δένδρων τε ὧν ἑκάστη φέρει καὶ καρπῶν, τούτοις μὲν χώραν τε ἄλλην προστίθησι καὶ δώροις κοσμεῖ* (18) *καὶ ἕδραις ἐντίμοις* (19) *γεραίρει, οἷς δ' ἂν ὁρᾷ ἀργόν τε τὴν χώραν οὖσαν καὶ ὀλιγάνθρωπον ἢ διὰ χαλεπότητα ἢ δι' ὕβριν ἢ δι' ἀμέλειαν, τούτους δὲ* (20) *κολάζων καὶ παύων τῆς ἀρχῆς ἄρχοντας ἄλλους καθίστησι. Ταῦτα ποιῶν δοκεῖ ἧττον ἐπιμελεῖσθαι ὅπως ἡ γῆ ἐνεργὸς ἔσται ὑπὸ τῶν κατοικούντων ἢ ὅπως εὖ φυλάξεται ὑπὸ τῶν φρουρούντων; Καὶ εἰσὶ δ' αὐτῷ οἱ ἄρχοντες διατεταγμένοι ἐφ' ἑκάτερον οὐχ οἱ αὐτοί, ἀλλ' οἱ μὲν ἄρχουσι τῶν κατοικούντων τε καὶ τῶν ἐργατῶν, καὶ δασμοὺς ἐκ τούτων ἐκλέγουσιν, οἱ δ' ἄρχουσι τῶν ὡπλισμένων τε καὶ τῶν φρουρῶν* (21). *Κἂν μὲν ὁ φρούραρχος μὴ ἱκανῶς τῇ χώρᾳ ἀρήγῃ, ὁ τῶν ἐνοικούντων ἄρχων καὶ τῶν ἔργων ἐπιμελόμενος κατηγορεῖ τοῦ φρουράρχου, ὅτι οὐ δύνανται ἐργάζεσθαι διὰ τὴν ἀφυλαξίαν, ἢν δέ, παρέχοντος τοῦ φρουράρχου εἰρήνην τοῖς ἔργοις, ὁ ἄρχων ὀλιγάνθρωπόν τε παρέχηται καὶ ἀργὸν τὴν χώραν, τούτου αὖ κατηγορεῖ ὁ φρούραρχος· καὶ γὰρ σχεδόν τι οἱ κακῶς τὴν χώραν ἐργαζόμενοι οὔτε τοὺς φρουροὺς τρέφουσιν οὔτε τοὺς δα-*

---

les gouverneurs militaires (*φρουράρχους*), aussi bien que les gouverneurs civils (*ἄρχοντας*).

15. *Ἄριθμον*, le nombre *d'hommes*; *τούτους*, ces hommes.

16. *Τούτους . . . . αὔξει.* « Il les avance en honneurs. » *Αἱ τιμαί*, avec l'article, parce qu'il y avait une hiérarchie des honneurs.

17. *Ὁπόσην τῆς χώρας* équivaut à *ὁπόσην χώραν*.

18. *Κοσμεῖ*, sous-ent. *αὐτούς*.

19. *Ἕδραις ἐντίμοις*, places d'honneur (par exemple, dans les banquets royaux).

20. *Οὓς μὲν . . ., τούτοις μὲν . . ., οἷς δὲ . . ., τούτους δὲ . . .* Remarquez la structure de cette longue phrase (cf. p. 280, note 12).

21. *Τῶν ὡπλισμένων . . . . . φρουρῶν.* *Οἱ ὡπλισμένοι* équivaut à *οἱ μισθοφόροι καὶ οἱ ἄλλοι οἷς ὡπλίσθαι προστέτακται* (cf. page 259, ligne 22); *οἱ φρουροί*, les garnisons sédentaires, qui ne prennent pas part aux revues, les mêmes que *οἱ ἐν ταῖς ἀκροπόλεσι* (*ibid.*, *ligne* 23).

σμοὺς δύνανται ἀποδιδόναι. Ὅπου δ' ἂν σατράπης καθιστῆται, οὗτος ἀμφοτέρων τούτων ἐπιμελεῖται.

Ἐκ τούτων (22) ὁ Κριτόβουλος εἶπεν·

Κ. Οὐκοῦν εἰ μὲν δὴ ταῦτα ποιεῖ βασιλεύς, ὦ Σώκρατες, οὐδὲν ἔμοιγε δοκεῖ ἧττον τῶν γεωργικῶν ἔργων ἐπιμελεῖσθαι ἢ τῶν πολεμικῶν.

Σ. Ἔτι δὲ πρὸς τούτοις, ἔφη ὁ Σωκράτης, ἐν ὁπόσαις τε χώραις ἐνοικεῖ καὶ εἰς ὁπόσας ἐπιστρέφεται, ἐπιμελεῖταί τε τούτων ὅπως κῆποι ἔσονται, οἱ παράδεισοι (23) καλούμενοι, πάντων καλῶν τε κἀγαθῶν μεστοὶ ὅσα ἡ γῆ φύειν θέλει, καὶ ἐν τούτοις αὐτὸς τὰ πλεῖστα διατρίβει, ὅταν μὴ ἡ ὥρα τοῦ ἔτους ἐξείργῃ.

Κ. Νὴ Δί', ἔφη ὁ Κριτόβουλος, ἀνάγκη τοίνυν, ὦ Σώκρατες, ἔνθα γε διατρίβει αὐτός, καὶ ὅπως ὡς κάλλιστα κατεσκευασμένοι ἔσονται οἱ παράδεισοι ἐπιμελεῖσθαι (24) δένδρεσι καὶ τοῖς ἄλλοις ἅπασι καλοῖς ὅσα ἡ γῆ φύει.

Σ. Φασὶ δέ τινες, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, καὶ ὅταν δῶρα διδῷ βασιλεύς, πρῶτον μὲν εἰσκαλεῖν τοὺς ἐν πολέμῳ ἀγαθοὺς γεγονότας, ὅτι οὐδὲν ὄφελος (25) πολλὰ ἀροῦν, εἰ μὴ εἶεν οἱ ἀρήξοντες (26)· δεύτερον δὲ τοὺς κατασκευάζοντας τὰς χώρας (27) ἄριστα καὶ ἐνεργοὺς ποιοῦντας, λέγοντα ὅτι οὐδ' ἂν οἱ ἄλκιμοι δύναιντο ζῆν, εἰ μὴ εἶεν οἱ ἐργαζόμενοι. Λέγεται δὲ καὶ Κῦρός (28) ποτε, ὅσπερ εὐδοκιμώτατος δὴ βασιλεὺς γεγένηται, εἰπεῖν τοῖς ἐπὶ τὰ δῶρα κεκλημένοις ὅτι αὐτὸς ἂν δικαίως τὰ ἀμφοτέρων δῶρα λαμβάνοι· κατασκευάζειν τε γὰρ ἄριστος εἶναι ἔφη χώραν καὶ ἀρήγειν τοῖς κατεσκευασμένοις.

Κ. Κῦρος μὲν τοίνυν, ἔφη ὁ Κριτόβουλος, ὦ Σώκρατες, καὶ ἐπηγάλλετο οὐδὲν ἧττον, εἰ ταῦτα ἔλεγεν, ἐπὶ τῷ χώρας ἐνεργοὺς ποιεῖν καὶ κατασκευάζειν ἢ ἐπὶ τῷ πολεμικὸς εἶναι.

Σ. Καί, ναὶ μὰ Δί', ἔφη ὁ Σωκράτης, Κῦρός γε, εἰ ἐβίω (29),

---

22. Cf. la note Ch. II, 1, à la page 249.

23. *Παράδεισοι.* C'est, avec une terminaison grecque, le mot perse qui servait à désigner ces jardins.

24. *Ἀνάγκη . . . . ἐπιμελεῖσθαι.* « Il est nécessaire qu'*on* s'occupe, que *les personnes que cela regarde* s'occupent . . . » Le sujet de l'infinitif *ἐπιμελεῖσθαι* n'est pas exprimé. Cf. p. 263, l. 17. — *Δένδρεσι* dépend de *κατεσκευασμένοι.*

25. *Ὄφελος*, sous-ent. *ἂν εἴη.*

26. *Οἱ ἀρήξοντες*, ceux qui défendront, c.-à-d. des gens pour les défendre.

27. *Κατασκευάζειν χώραν*, cultiver une terre, la faire valoir.

28. *Κῦρος.* Il s'agit ici de Cyrus l'*Ancien*, le fondateur de la monarchie perse.

29. *Ἐβίω.* L'aoriste *ἐβίων* est le seule forme attique: *ἐβίωσα* appartient

ἄριστος ἂν δοκεῖ ἄρχων γενέσθαι, καὶ τούτου τεκμήρια ἄλλα τε πολλὰ παρέσχηται καὶ ὁπότε περὶ τῆς βασιλείας τῷ ἀδελφῷ ἐπορεύετο μαχούμενος· παρὰ μὲν γὰρ Κύρου οὐδεὶς λέγεται αὐτομολῆσαι πρὸς βασιλέα, παρὰ δὲ βασιλέως πολλαὶ μυριάδες πρὸς Κῦρον. Ἐγὼ δὲ καὶ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν[30] *ἑκόντες πείθωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. Ἐκείνῳ δὲ οἱ φίλοι ζῶντί τε συνεμάχοντο καὶ ἀποθανόντι συναπέθανον πάντες περὶ τὸν νεκρὸν μαχόμενοι*[31]. *Οὗτος τοίνυν ὁ Κῦρος λέγεται Λυσάνδρῳ*[32], *ὅτε ἦλθεν ἄγων αὐτῷ τὰ παρὰ τῶν συμμάχων δῶρα, ἄλλα τε φιλοφρονεῖσθαι, ὡς αὐτὸς ἔφη ὁ Λύσανδρος ξένῳ ποτέ τινι ἐν Μεγάροις διηγούμενος, καὶ τὸν ἐν Σάρδεσι παράδεισον ἐπιδεικνύναι αὐτὸν*[33] *ἔφη. Ἐπεὶ δὲ ἐθαύμαζεν αὐτὸν*[34] *ὁ Λύσανδρος, ὡς καλὰ μὲν τὰ δένδρα εἴη, δι' ἴσου*[35] *δὲ πεφυτευμένα, ὀρθοὶ δὲ οἱ στίχοι τῶν δένδρων, εὐγώνια δὲ πάντα καλῶς εἴη, ὀσμαὶ δὲ πολλαὶ καὶ ἡδεῖαι συμπαρομαρτοῖεν αὐτοῖς περιπατοῦσι, καὶ ταῦτα θαυμάζων εἶπεν· «Ἀλλ' ἐγώ τοι, ὦ Κῦρε, πάντα μὲν ταῦτα θαυμάζω ἐπὶ τῷ κάλλει, πολὺ δὲ μᾶλλον ἄγαμαι τοῦ καταμετρήσαντός σοι καὶ διατάξαντος ἕκαστα τούτων.» Ἀκούσαντα δὲ ταῦτα τὸν Κῦρον ἡσθῆναί τε καὶ εἰπεῖν· «Ταῦτα τοίνυν, ὦ Λύσανδρε, ἐγὼ πάντα καὶ διεμέτρησα καὶ διέταξα, ἔστι δ' αὐτῶν» φάναι «ἃ*[36] *καὶ ἐφύτευσα αὐτός.» Καὶ ὁ Λύσανδρος ἔφη, ἀποβλέψας εἰς αὐτὸν καὶ ἰδὼν τῶν τε ἱματίων τὸ κάλλος ὧν εἶχε καὶ τῆς ὀσμῆς αἰσθόμενος καὶ τῶν στρεπτῶν καὶ τῶν ψελίων καὶ τοῦ ἄλλου κόσμου οὗ εἶχεν, εἰπεῖν· «Τί λέγεις,» φάναι «ὦ Κῦρε; Ἦ γὰρ σὺ ταῖς σαῖς χερσὶ τούτων τι ἐφύτευσας;» Καὶ τὸν Κῦρον ἀποκρί-*

à la langue commune. — Il s'est probablement perdu ici quelque mot du texte (*Κῦρος ὁ νεώτερος*, ou *ὁ Δαρείου*), qui exprimait que c'est de Cyrus *le Jeune* (tué à la bataille de Cunaxa, en 401) qu'il est maintenant question.

80. *Ὧ ἂν* équivaut à *ἐάν τινι*.

81. Un lecteur ancien ajouta ici à la marge de son livre la rectification suivante, puisée dans l'*Anabase* de Xénophon: *πλὴν Ἀριαίου· Ἀριαῖος δ' ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ κέρατι τεταγμένος.* Cette annotation passa dans le texte des autres manuscrits de Xénophon et de là dans celui de la plupart des éditions de l'*Économique*.

82. *Λυσάνδρῳ.* Cette ambassade de Lysandre auprès de Cyrus remonte à l'an 407 avant Jésus-Christ.

83. *Ἐπιδεικνύναι*, sous-ent. *αὐτῷ*, à lui Lysandre. — *Αὐτόν*, Cyrus lui-même.

84. *Αὐτόν* c'est-à-dire *τὸν παράδεισον*. Plus loin, sous-ent. *αὐτοῦ* auprès de *τὰ δένδρα*.

85. *Δι' ἴσου*, à intervalles égaux.

86. *Ἔστι δ' αὐτῶν ἃ* équivaut à *ἔνια δ' αὐτῶν*.

νασθαι· « Θαυμάζεις τοῦτο, ὦ Λύσανδρε; Ὄμνυμί σοι τὸν Μίθρην, ὅτανπερ ὑγιαίνω, μηπώποτε δειπνῆσαι πρὶν ἱδρῶσαι ἢ τῶν πολεμικῶν τι ἢ τῶν γεωργικῶν ἔργων μελετῶν ἢ ἀεὶ ἕν γέ τι φιλοτιμούμενος.» Καὶ αὐτὸς μέντοι ἔφη ὁ Λύσανδρος ἀκούσας ταῦτα δεξιώσασθαί τε αὐτὸν καὶ εἰπεῖν· « Δικαίως μοι δοκεῖς, ὦ Κῦρε, εὐδαίμων εἶναι· ἀγαθὸς γὰρ ὢν ἀνὴρ εὐδαιμονεῖς(37).»

CHAPITRE V.

Σ. Ταῦτα δέ, ὦ Κριτόβουλε, ἐγὼ διηγοῦμαι, ἔφη ὁ Σωκράτης, ὅτι τῆς γεωργίας οὐδ' οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. Ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις καὶ σωμάτων ἄσκησις εἰς τὸ δύνασθαι ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. Πρῶτον μὲν γὰρ ἀφ' ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ' ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει· ἔπειτα δὲ ὅσοις κοσμοῦσι βωμοὺς καὶ ἀγάλματα καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει· καὶ γὰρ ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥστε ἔχειν(1) καὶ θεοὺς ἐξαρέσκεσθαι θύοντας καὶ αὐτοὺς χρῆσθαι. Παρέχουσα δ' ἀφθονώτατα τἀγαθά, οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. Καὶ τοὺς μὲν αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα ἰσχὺν αὐτοῖς προστίθησι, τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει πρωί τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα· καὶ γὰρ ἐν τῷ χώρῳ καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν. Ἔπειτα ἤν τε σὺν ἵππῳ ἀρήγειν τις τῇ πόλει(2) βούληται, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία συντρέφειν, ἤν τε πεζῇ, σφοδρὸν τὸ σῶμα παρέχει· θήραις τε ἐπιφιλοπονεῖσθαι συνεπαίρει τι ἡ γῆ, καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα καὶ θηρία συμπαρατρέφουσα(3). Ὠφελούμενοι δὲ καὶ οἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ τῆς γεωργίας ἀντωφελοῦσι τὸν χῶρον, ὁ μὲν ἵππος πρωί τε κο-

---

36. *Δικαίως . . . . εὐδαιμονεῖς.* Cicéron, qui a inséré dans son dialogue *sur la Vieillesse* cette anecdote sur Cyrus, traduit ainsi cette dernière phrase: «Recte vero te, Cyre, beatum ferunt, quoniam virtuti tuæ fortuna conjuncta est.»

Ch. V] 1. Le sujet de l'infinitif *ἔχειν*, c'est *γεωργούς*, sous-ent., mot auquel se rapportent *θύοντας* et *αὐτούς*.

2. *Σὺν ἵππῳ . . . . τῇ πόλει*: c'est-à-dire servir l'État dans la cavalerie.

3. *Συμπαρατρέφουσα. Σύν*, et *παρατρέφειν*, nourrir des parasites.

μίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν καὶ ἐξουσίαν παρέχων ὀψὲ ἀπιέναι, αἱ δὲ κύνες τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης καρπῶν καὶ προβάτων καὶ τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι. Παρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ καὶ (4) *ἡ γῆ τοὺς γεωργούς, ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν* (5). *Καὶ δραμεῖν δὲ καὶ βαλεῖν καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; Τίς* (6) *δὲ τοῖς ἐργαζομένοις πλείω ἀντιχαρίζεται; Τίς δὲ ἥδιον τὸν ἐπιμελόμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν ὅ τι χρῄζει; Τίς δὲ ξένους ἀφθονώτερον δέχεται; Χειμάσαι δὲ πυρὶ ἀφθόνῳ καὶ θερμοῖς λουτροῖς ποῦ πλείων εὐμάρεια ἢ ἐν χώρῳ; Ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε καὶ πνεύμασι καὶ σκιαῖς ἢ κατ' ἀγρον; Τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; Τίς δὲ οἰκέταις προσφιλεστέρα ἢ γυναικὶ ἡδίων ἢ τέκνοις ποθεινοτέρα ἢ φίλοις εὐχαριστοτέρα; Ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι εἴ τις ἐλεύθερος ἄνθρωπος ἤ κτῆμά τι τούτου ἥδιον κέκτηται, ἢ ἐπιμέλειαν ἡδίω τινὰ ταύτης ηὕρηκεν ἢ ὠφελιμωτέραν εἰς τὸν βίον. Ἔτι δὲ ἡ γῆ, θεὸς οὖσα, τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει· τοὺς γὰρ ἄριστα θεραπεύοντας* (7) *αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. Ἐὰν δ' ἄρα καὶ ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῶσιν οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, ἢν μὴ θεὸς ἀποκωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν ἀποκωλυόντων* (8) *λαμβάνειν ἀφ' ὧν θρέψονται* (9). *Πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλεστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις. Συμπαιδεύει δὲ καὶ εἰς τὸ ἄρχειν ἄλλων ἡ γεωργία· ἐπί τε γὰρ τοὺς πολεμίους σὺν ἀνθρώποις δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία.*

---

4. *Καὶ . . . καὶ.* La répétition de *καὶ* provient de la construction insolite de la phrase; l'ordre naturel des mots était: *παρορμᾷ δέ τι καὶ ἡ γῆ τοὺς γεωργοὺς εἰς τὸ ἀρήγειν κτλ.*

5. *Ἐν τῷ . . . . λαμβάνειν.* Constr.: *τρέφουσα τ. καρπ. ἐν τῷ μέσῳ λαμβ. τῷ κρατοῦντι*, c.-à-d. poussant ses fruits en pleine campagne, à prendre, pour celui qui s'en rend le maître. L'idée exprimée par les mots *ἐν τῷ μέσῳ* est rendue de nouveau plus bas par *ἔξω τῶν ἐρυμάτων* (p. 267, l. 7), «en dehors des fortifications des villes.»

6. *Τίς*, sous-ent. *τέχνη*.

7. *Θεραπεύειν*, venant après *ἡ γῆ θεὸς οὖσα*, fait un jeu de mots: c'est à la fois le terme propre pour dire *honorer les dieux* et *cultiver la terre*.

8. *Εἰς τὰς τῶν ἀποκωλυόντων*, sous-ent. *χώρας*.

9. *Ἀφ' ὧν θρέψονται*, de quoi se nourrir; mot à mot: de quoi ils se nourriront. Cf. la note 26 de la page 261.

Τὸν οὖν μέλλοντα εὖ γεωργήσειν δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν καὶ πείθεσθαι θέλοντας· τὸν δὲ ἐπὶ πολεμίους ἄγοντα ταὐτὰ δεῖ μηχανᾶσθαι δωρούμενόν τε τοῖς ποιοῦσιν ἃ δεῖ ποιεῖν τοὺς ἀγαθοὺς(10) *καὶ κολάζοντα τοὺς ἀτακτοῦντας· καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργὸν ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις· καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐδὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται, ἀλλὰ καὶ μᾶλλον, ὅπως μένειν ἐθέλωσι. Καλῶς δὲ κἀκεῖνος εἶπεν ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι. Εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι, ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν.*

Ἀκούσας δὲ ταῦτα ὁ Κριτόβουλος εἶπεν·

Κ. Ἀλλὰ ταῦτα μὲν ἔμοιγε, ὦ Σώκρατες, καλῶς δοκεῖς λέγειν· ὅτι δὲ τῆς γεωργικῆς τὰ πλεῖστά ἐστιν ἀνθρώπῳ ἀδύνατα προνοῆσαι . . . . .(11). *Καὶ γὰρ χάλαζαι καὶ πάχναι ἐνίοτε καὶ αὐχμοὶ καὶ ὄμβροι ἐξαίσιοι καὶ ἐρυσῖβαι*(12) *καὶ ἄλλα πολλάκις τὰ καλῶς ἐγνωσμένα καὶ πεποιημένα ἀφαιροῦνται· καὶ πρόβατα δ' ἐνίοτε κάλλιστα τεθραμμένα νόσος ἐλθοῦσα κάκιστα ἀπώλεσεν.*

Ἀκούσας δὲ ταῦτα ὁ Σωκράτης εἶπεν·

Σ. Ἀλλ' ᾤμην ἔγωγέ σε, ὦ Κριτόβουλε, εἰδέναι ὅτι οἱ θεοὶ οὐδὲν ἧττόν εἰσι κύριοι τῶν ἐν τῇ γεωργίᾳ ἔργων ἢ τῶν ἐν τῷ πολέμῳ. Καὶ τοὺς μὲν ἐν τῷ πολέμῳ ὁρᾷς, οἶμαι, πρὸ τῶν πολεμικῶν πράξεων ἐξαρεσκομένους τοὺς θεοὺς καὶ ἐπερωτῶντας θυσίαις καὶ οἰωνοῖς ὅ τι τε χρὴ ποιεῖν καὶ ὅ τι μή· περὶ δὲ τῶν γεωργικῶν πράξεων ἧττον οἴει δεῖν τοὺς θεοὺς ἱλάσκεσθαι; Εὖ γὰρ ἴσθι, ἔφη, ὅτι οἱ σώφρονες καὶ ὑπὲρ ὑγρῶν καὶ ξηρῶν καρπῶν(13) *καὶ βοῶν καὶ ἵππων καὶ προβάτων καὶ ὑπὲρ πάντων γε δὴ τῶν κτημάτων τοὺς θεοὺς θεραπεύουσιν.*

---

10. *Δωρούμενόν τε . . . ἀγαθούς.* « Faisant des présents à ceux qui font ce qu'il faut que les gens de bien facent. » (La Boëtie.)

11. Il manque ici dans les manuscrits quelque chose comme *ταύτου οὐ μέμνησαι*, ou *τούτου θαυμάζω σε ἀμνημονῆσαι.*

12. *Ἐρυσίβη*, maladie des graminées connue sous les divers noms de *nielle*, *charbon*, *rouille*; elle attaque les grains des graminées sans leur causer de ravages extérieurs, mais en détruisant la farine, qu'elle remplace par une sorte de poussière noire, grasse au toucher et fétide: cette maladie est due à un cryptogame parasite et microscopique.

13. *Καρποὶ ὑγροί*, *frumenta* les céréales (blé, orge, etc.); *καρποὶ ξηροί*, *legumina*, les légumineuses (fèves, pois, etc.).

CHAPITRE VI.

Κ. Ἀλλὰ ταῦτα μέν, ἔφη, ὦ Σώκρατες, καλῶς μοι δοκεῖς λέγειν, κελεύων πειρᾶσθαι σὺν τοῖς θεοῖς ἄρχεσθαι παντὸς ἔργου, ὡς τῶν θεῶν κυρίων ὄντων οὐδὲν ἧττον τῶν εἰρηνικῶν ἢ τῶν πολεμικῶν ἔργων. Ταῦτα μὲν οὖ πειρασόμεθα οὕτω ποιεῖν· σὺ δ' ἡμῖν, ἔνθεν (1) *λέγων περὶ τῆς οἰκονομίας ἀπέλιπες, πειρῶ τὰ τούτων ἐχόμενα*(2) *δεκπεραίνειν, ὡς καὶ νῦν μοι δοκῶ, ἀκηκοὼς ὅσα εἶπες, μᾶλλόν τι ἤδη διορᾶν ἢ πρόσθεν ὅ τι χρὴ ποιοῦντα βιοτεύειν.*

Σ. Τί οὖν, ἔφη ὁ Σωκράτης, ἄρα, εἰ πρῶτον μὲν ἐπανέλθοιμεν ὅσα συνομολογοῦντες διεληλύθαμεν, ἤν πως δυνώμεθα(3) *οὕτω*(4) *καὶ τὰ λοιπὰ διεξιέναι.*

Κ. Ἡδὺ γοῦν ἐστιν, ἔφη ὁ Κριτόβουλος, ὥσπερ καὶ χρημάτων κοινωνήσαντας ἀναμφιλόγως διελθεῖν(5), *οὕτω καὶ λόγων κοινωνοῦντας περὶ ὧν ἂν διαλεγώμεθα συνομολογοῦντας διεξιέναι.*

Σ. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐπιστήμης μέν τινος ἔδοξεν ἡμῖν ὄνομα εἶναι ἡ οἰκονομία, ἡ δὲ ἐπιστήμη αὕτη ἐφαίνετο ᾗ οἴκους δύνανται αὔξειν ἄνθρωποι (6), *οἶκος δ' ἡμῖν ἐφαίνετο ὅπερ κτῆσις ἡ σύμπασα, κτῆσιν δὲ τοῦτο ἔφαμεν εἶναι ὅ τι ἑκάστῳ εἴη ὠφέλιμον εἰς τὸν βίον, ὠφέλιμα δὲ ὄντα ηὑρίσκετο πάντα ὁπόσοις τις ἐπίσταιτο χρῆσθαι* (7). *Πάσας μὲν οὖν τὰς ἐπιστήμας οὔτε μαθεῖν οἷόν τε ἡμῖν ἐδόκει, συναπεδοκιμάζομέν*(8) *τε*(9) *ταῖς πόλεσι τὰς βαναυσικὰς καλουμένας τέχνας, ὅτι καὶ τὰ σώματα καταλυμαίνεσθαι δοκοῦσι καὶ τὰς ψυχὰς καταγνύναι* (10).

Ch. VI.] 1. *Ἔνθεν*, «à partir de là où,» comme *ἐντεῦθεν ἔνθα*.

2. *Τὰ τούτων ἐχόμενα*, ce qui tient avec, c.-à-d. la suite.

3. *Ἤν πως δυνώμεθα*, pour essayer de (comme s'il y avait: *ἵνα πειραθῶμεν*).

4. *Οὕτω*, c.-à-d. *συνομολογοῦντες*.

5. *Διελθεῖν*, de parcourir *leurs comptes*, de faire leurs comptes.

6. *Ἅνθρωποι*, crase pour *οἱ ἄνθρωποι*.

7. Socrate vient de résumer, dans les cinq lignes précédentes, la partie de la conversation, échangée entre Critoboulos et lui, qui remplit environ les deux premiers tiers du premier chapitre La phrase qui vient maintenant résume le début du chapitre IV.

8. *Σύν*, et *ἀποδοκιμάζειν* signifiant rejeter, renvoyer à la suite d'un examen. Au contraire, *δοκιμάζειν* (voy. page 267, ligne première), approuver, accepter après examen.

9. Ce *τε* et *-τε* dans *οὔτε μαθεῖν* se correspondent, comme on trouve en latin *neque . . . . et*.

10. On lit ici dans les manuscrits et éditions de l'*Économique*: *Τεχ-*

Σ. Ἐδοκιμάσαμεν δὲ ἀνδρὶ καλῷ τε κἀγαθῷ ἐργασίαν εἶναι καὶ ἐπιστήμην κρατίστην γεωργίαν, ἀφ' ἧς τὰ ἐπιτήδεια ἄνθρωποι(11) πορίζονται. Αὕτη γὰρ ἡ ἐργασία ἐδόκει εἶναι ἡδίστη ἐργάζεσθαι(12), καὶ τὰ σώματα κάλλιστά τε καὶ εὐρωστότατα παρέχεσθαι, καὶ ταῖς ψυχαῖς ἥκιστα ἀσχολίαν παρέχειν φίλων τε καὶ πόλεως συνεπιμελεῖσθαι. Συμπαροξύνειν δέ τι ἐδόκει ἡμῖν καὶ εἰς τὸ ἀλκίμους εἶναι ἡ γεωργία, ἔξω τῶν ἐρυμάτων τὰ ἐπιτήδεια φύουσά τε καὶ τρέφουσα(13) τοῖς ἐργαζομένοις. Διὰ ταῦτα δὲ καὶ εὐδοξοτάτη εἶναι πρὸς τῶν πόλεων αὕτη ἡ βιοτεία, ὅτι καὶ πολίτας ἀρίστους καὶ εὐνουστάτους παρέχεσθαι δοκεῖ τῷ κοινῷ(14).

Καὶ ὁ Κριτόβουλος.

Κ. Ὅτι(15) μέν, ὦ Σώκρατες, κάλλιστόν τε καὶ ἄριστον καὶ ἥδιστον ἀπὸ γεωργίας τὸν βίον ποιεῖσθαι πάνυ μοι δοκῶ πεπεῖσθαι ἱκανῶς· ὅτι δὲ ἔφησθα καταμαθεῖν(16) τὰ αἴτια τῶν τε οὕτω γεωργούντων ὥστε ἀπὸ τῆς γεωργίας ἀφθόνως ἔχειν ὧν δέονται, καὶ τῶν οὕτως ἐργαζομένων ὡς μὴ λυσιτελεῖν αὐτοῖς τὴν γεωργίαν, καὶ ταῦτ' ἄν μοι δοκῶ ἡδέως ἑκάτερα ἀκούειν σου, ὅπως ἃ μὲν ἀγαθά ἐστι ποιῶμεν, ἃ δὲ βλαβερὰ μὴ ποιῶμεν.

Σ. Τί οὖν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, ἥν σοι ἐξ ἀρχῆς διηγήσωμαι ὡς συνεγενόμην ποτὲ ἀνδρί, ὃς ἐμοὶ ἐδόκει εἶναι τῷ ὄντι τούτων τῶν ἀνδρῶν ἐφ' οἷς τοῦτο τὸ ὄνομα δικαίως ἐστὶν ὃ καλεῖται καλός τε κἀγαθὸς ἀνήρ;

Κ. Πάνυ ἄν, ἔφη ὁ Κριτόβουλος, βουλοίμην ἂν τοῦτό σου ἀκούειν, ὡς καὶ ἔγωγε ἐρῶ τούτου τοῦ ὀνόματος ἄξιος γενέσθαι.

μήριον δὲ σαφέστατον γενέσθαι ἂν τούτου ἔφαμεν εἰ, πολεμίων εἰς τὴν χώραν ἰόντων, διακαθίσας τις τοὺς γεωργοὺς καὶ τοὺς τεχνίτας χωρὶς ἑκατέρους ἐπερωτῴη, πότερα δοκεῖ ἀρήγειν τῇ χώρᾳ, ἢ ἀφεμένους τῆς γῆς τὰ τείχη διαφυλάττειν; Οὕτω γὰρ ἂν τοὺς μὲν ἀμφὶ γῆν ἔχοντας ᾠόμεθ' ἂν ψηφίζεσθαι ἀρήγειν, τοὺς δὲ τεχνίτας μὴ μάχεσθαι, ἀλλ', ὅπερ πεπαίδευνται, καθῆσθαι μήτε πονοῦντας μήτε κινδυνεύοντας. Mais Xénophon n'a pas le moins du monde parlé de cela dans ce qui précède, et il n'en souffle même pas mot dans la suite : on doit considérer ce passage comme une intrusion dans son texte.

11. Voy. la note 6 de la page précédente.

12. *Αὕτη . . . ἐργάζεσθαι.* Les manuscrits et éditions de Xénophon donnent cette phrase comme suit : *Αὕτη γὰρ ἡ ἐργασία μαθεῖν τε ῥᾴστη ἐδόκει εἶναι καὶ ἡδίστη ἐργάζεσθαι.* Dans la suite on verra, en effet, que l'agriculture est une science *facile à apprendre* ; mais, jusqu'à présent, il n'a pas été le moins du monde question de cela dans le dialogue.

13. *Φύουσα* : il s'agit des plantes ; *τρέφουσα*, des troupeaux.

14. Ce dernier alinéa résume l'éloge de l'agriculture que renferme le chapitre v.

15. *Ὅτι* tombe sur les superlatifs : « la plus belle possible », etc.

16. Voy. le dialogue, p. 255, à partir de la ligne 19.

Σ. Λέξω τοίνυν σοι, ἔφη ὁ Σωκράτης, ὡς καὶ ἦλθον ἐπὶ τὴν σκέψιν αὐτοῦ. Τοὺς μὲν γὰρ ἀγαθοὺς τέκτονας, χαλκέας ἀγαθούς, ζωγράφους ἀγαθούς, ἀνδριαντοποιούς, καὶ τὰ ἄλλα τὰ τοιαῦτα, πάνυ ὀλίγος μοι χρόνος ἐγένετο ἱκανὸς περιελθεῖν τε καὶ θεάσασθαι τὰ δεδοκιμασμένα καλὰ ἔργα αὐτοῖς εἶναι(17). Ὅπως δὲ δὴ καὶ τοὺς ἔχοντας τὸ σεμνὸν ὄνομα τοῦτο τὸ καλός τε κἀγαθὸς ἐπισκεψαίμην, τί ποτ' ἐργαζόμενοι τοῦτ' ἀξιοῖντο καλεῖσθαι, πάνυ μου ἡ ψυχὴ ἐπεθύμει αὐτῶν τινι συγγενέσθαι. Καὶ πρῶτον μὲν ὅτι προσέκειτο τὸ καλὸς τῷ ἀγαθῷ, ὅντινα ἴδοιμι καλόν, τούτῳ προσῄειν καὶ ἐπειρώμην καταμανθάνειν εἴ που ἴδοιμι προσηρτημένον τῷ καλῷ τὸ ἀγαθόν. Ἀλλ' οὐκ ἄρα εἶχεν οὕτως, ἀλλ' ἐνίους ἐδόκουν καταμανθάνειν τῶν καλῶν τὰς μορφὰς πάνυ μοχθηροὺς ὄντας τὰς ψυχάς. Ἔδοξεν οὖν μοι ἀφέμενον τῆς καλῆς ὄψεως ἐπ' αὐτῶν τινα ἐλεῖν τῶν καλουμένων καλῶν τε κἀγαθῶν. Ἐπεὶ οὖν τὸν Ἰσχόμαχον(18) ἤκουον πρὸς πάντων καὶ ἀνδρῶν καὶ γυναικῶν καὶ ξένων καὶ ἀστῶν καλόν τε κἀγαθὸν ἐπονομαζόμενον, ἔδοξέ μοι τούτῳ πειραθῆναι συγγενέσθαι.

CHAPITRE VII.

Σ. Ἰδὼν οὖν ποτε αὐτὸν ἐν τῇ τοῦ Διὸς τοῦ Ἐλευθερίου στοᾷ(1) καθήμενον, ἐπεί μοι ἔδοξε σχολάζειν, προσῆλθον αὐτῷ, καὶ παρακαθιζόμενος εἶπον·

ΣΩΚΡΑΤΗΣ. « Τί, ὦ Ἰσχόμαχε, οὐ μάλα εἰωθὼς σχολάζειν, κάθησαι; Ἐπεὶ τά γε πλεῖστα ἢ πράττοντά τι ὁρῶ σε ἢ οὐ πάνυ σχολάζοντα ἐν τῇ ἀγορᾷ. »

ΙΣΧΟΜΑΧΟΣ. « Οὐδὲ ἂν νῦν γε, » ἔφη ὁ Ἰσχόμαχος, « ὦ Σώκρατες, ἑώρας, εἰ μὴ ξένους τινὰς συνεθέμην ἀναμένειν ἐνθάδε. »

Σ. « Ὅταν δὲ μὴ πράττῃς τι τοιοῦτον, πρὸς τῶν θεῶν, » ἔφην ἐγὼ « ποῦ διατρίβεις καὶ τί ποιεῖς; — Ἐγὼ γάρ τοι πάνυ βούλομαί σου πυθέσθαι τί ποτε πράττων καλός τε κἀγαθὸς κέκλησαι· ἐπεὶ οὐκ ἔνδον γε διατρίβεις, οὐδὲ τοιαύτη σου ἡ ἕξις τοῦ σώματος καταφαίνεται. »

---

17. Τοὺς . . . . εἶναι. Construisez : Περιελθεῖν τε τοὺς ἀγαθοὺς τέκτονας κτλ. καὶ θεάσασθαι τὰ ἔργα δεδοκιμασμένα αὐτοῖς (comme ὑπ' αὐτῶν) εἶναι καλά.

18. Ἰσχόμαχον. On manque absolument de renseignements sur la personne de cet Ischomachos, à moins qu'on n'admette que c'est le même personnage dont se moqua, à cause de son avarice, le poète comique Cratinos, le rival d'Aristophane.

Ch. VII.] 1. Le portique de Ζεὺς Ἐλευθέριος formait, à ce qu'on croit, une partie de la bordure occidentale de l'agora d'Athènes.

Καὶ ὁ Ἰσχόμαχος γελάσας ἐπὶ τῷ τί ποιῶν καλὸς κἀγαθὸς κέκλησαι, καὶ ἡσθείς, ὥς γ' ἐμοὶ ἔδοξεν, εἶπεν·

I. «Ἀλλ' εἰ μέν, ὅταν σοι διαλέγωνται περὶ ἐμοῦ, τινές καλοῦσί με τοῦτο τὸ ὄνομα, οὐκ οἶδα· οὐ γὰρ δή, ὅταν γέ με εἰς ἀντίδοσιν καλῶνται τριηραρχίας ἢ χορηγίας (2), οὐδεὶς» ἔφη «ζητεῖ τὸν καλόν τε κἀγαθόν, ἀλλὰ σαφῶς» ἔφη «ὀνομάζοντές με Ἰσχόμαχον πατρόθεν (3) προσκαλοῦνται. Ἐγὼ μὲν τοίνυν,» ἔφη «ὦ Σώκρατες, ὅ με ἐπήρου, οὐδαμῶς ἔνδον διατρίβω. Καὶ γὰρ δὴ» ἔφη «τά γε ἐν τῇ οἰκίᾳ μου πάνυ καὶ αὐτὴ (4) ἡ γυνή ἐστιν ἱκανὴ διοικεῖν.»

Σ. «Ἀλλὰ καὶ τοῦτο» ἔφην «ἔγωγε, ὦ Ἰσχόμαχε, πάνυ ἂν ἡδέως σου πυθοίμην, πότερα αὐτὸς σὺ ἐπαίδευσας τὴν γυναῖκα ὥστε εἶναι οἵαν δεῖ, ἢ ἐπισταμένην ἔλαβες παρὰ τοῦ πατρὸς καὶ τῆς μητρὸς διοικεῖν τὰ προσήκοντα αὐτῇ.»

I. «Καὶ τί (5) ἄν,» ἔφη «ὦ Σώκρατες, ἐπισταμένην αὐτὴν παρέλαβον, ἣ ἔτη μὲν οὔπω πεντεκαίδεκα γεγονυῖα ἦλθε πρὸς ἐμέ, τὸν δ' ἔμπροσθεν χρόνον ἔζη ὑπὸ πολλῆς ἐπιμελείας ὅπως ὡς ἐλάχιστα μὲν ὄψοιτο, ἐλάχιστα δ' ἀκούσοιτο, ἐλάχιστα δ' ἐροίη (6); Οὐ γὰρ ἀγαπητὸν σοι δοκεῖ εἶναι εἰ μόνον ἦλθεν ἐπισταμένη ἔρια παραλαβοῦσα ἱμάτιον ἀποδεῖξαι, καὶ ἑωρακυῖα ὡς ἔργα ταλάσια θεραπαίναις δίδοται; Ἐπεὶ τά γε ἀμφὶ γαστέρα» ἔφη «πάνυ καλῶς, ὦ Σώκρατες, ἦλθε πεπαιδευμένη· ὅπερ μέγιστον ἔμοιγε δοκεῖ παίδευμα εἶναι καὶ ἀνδρὶ καὶ γυναικί.»

Σ. «Τὰ δ' ἄλλα,» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, αὐτὸς ἐπαίδευσας τὴν γυναῖκα ὥστε ἱκανὴν εἶναι ὧν προσήκει ἐπιμελεῖσθαι;»

I. «Οὐ μὰ Δί',» ἔφη ὁ Ἰσχόμαχος «οὐ πρίν γε καὶ ἔθυσα καὶ ηὐξάμην ἐμέ τε τυγχάνειν διδάσκοντα καὶ ἐκείνην μανθάνουσαν τὰ βέλτιστα ἀμφοτέροις ἡμῖν.»

---

2. *Τριηραρχίας ἢ χορηγίας*. Lorsqu'un Athénien était désigné pour faire les frais d'une triérarchie ou d'une chorégie (voy. page 251. notes 15 et 18), il pouvait se soustraire à cette charge en indiquant, pour la remplir au lieu de lui, tel Athénien qu'il prétendait être plus riche que lui. Celui-ci refusait-il, il était alors tenu, si l'autre le proposait, de faire avec lui l'échange de leurs biens respectifs: cet échange s'appelait *ἀντίδοσις*.

3. *Πατρόθεν*, « en ajoutant le nom de mon père ». On sait que dans les actes officiels les personnes étaient désignées par leur nom et celui de leur père au génitif, plus la mention de leur *dème* (arrondissement); exemple: *Δημοσθένης Δημοσθένους Παιανιεύς*.

4. *Καὶ αὐτή*, à elle seule.

5. *Τί* est le régime de *ἐπισταμένην*.

6. *Ἐροίη*. L'optatif des futurs contractes est en *οίην, οίης, οίη*, au singulier, chez les Attiques.

Σ. «Οὐκοῦν» ἔφην ἐγὼ «καὶ ἡ γυνή σοι συνέθυε καὶ συνηύχετο ταὐτὰ ταῦτα;»

Ι. «Καὶ μάλα γ'», ἔφη ὁ Ἰσχόμαχος «πολλὰ ὑπισχνουμένη μὲν πρὸς τοὺς θεοὺς(7) γενήσεσθαι οἵαν δεῖ, καὶ εὔδηλος ἦν ὅτι οὐκ ἀμελήσοι τῶν διδασκομένων.»

Σ. «Πρὸς θεῶν,» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, τί (8) πρῶτον διδάσκειν ἤρχου αὐτήν, διηγοῦ μοι, ὡς ἐγὼ ταῦτ' ἂν ἥδιόν σου διηγουμένου ἀκούοιμι ἢ εἴ μοι γυμνικὸν ἢ ἱππικὸν ἀγῶνα(9) τὸν κάλλιστον διηγοῖο.»

Καὶ ὁ Ἰσχόμαχος ἀπεκρίνατο·

Ι. «Τί δ';» ἔφη «ὦ Σώκρατες· ἐπεὶ ἤδη μοι χειροήθης ἦν καὶ ἐτετιθάσευτο ὥστε διαλέγεσθαι, ἠρόμην αὐτὴν» ἔφη » ὧδέ πως·

«Εἰπέ μοι, ὦ γύναι, ἆρα ἤδη κατενόησας τίνος ποτὲ ἕνεκα »ἐγώ τε σὲ ἔλαβον καὶ οἱ σοὶ γονεῖς ἔδοσάν σε ἐμοί; Ὅτι μὲν »γὰρ οὐκ ἀπορία ἦν μεθ' ὅτου ἄλλου ἐκαθεύδομεν ἄν, οἶδ' ὅτι »καὶ σοὶ καταφανὲς τοῦτ' ἐστί. Βουλευόμενος δ' ἐγώ τε ὑπὲρ »ἐμοῦ καὶ οἱ σοὶ γονεῖς ὑπὲρ σοῦ τίν' ἂν κοινωνὸν βέλτιστον »οἴκου τε καὶ τέκνων λάβοιμεν, ἐγώ τε σὲ ἐξελεξάμην καὶ οἱ σοὶ »γονεῖς, ὡς ἐοίκασιν, ἐκ τῶν δυνατῶν (10), ἐμέ. Τέκνα μὲν οὖν »ἢν θεός ποτε διδῷ ἡμῖν γενέσθαι, τότε βουλευσόμεθα περὶ »αὐτῶν ὅπως ὅτι βέλτιστα παιδεύσομεν αὐτά· κοινὸν γὰρ ἡμῖν »καὶ τοῦτο ἀγαθόν, συμμάχων καὶ γηροβοσκῶν ὅτι βελτίστων »τυγχάνειν· νῦν δὲ δὴ ὁ οἶκος ἡμῖν ὅδε κοινός ἐστιν. Ἐγώ τε γὰρ »ὅσα μοι ἔστιν ἅπαντα εἰς τὸ κοινὸν ἀποφαίνω, σύ τε ὅσα ἐπηνέγκω (11) πάντα εἰς τὸ κοινὸν κατέθηκας. Καὶ οὐ τοῦτο δεῖ »λογίζεσθαι πότερος ἄρα ἀριθμῷ πλείω συμβέβληται ἡμῶν, ἀλλ' »ἐκεῖνο εὖ εἰδέναι ὅτι ὁπότερος ἂν ἡμῶν βελτίων κοινωνὸς ᾖ, »οὗτος τὰ πλείονος ἄξια συμβάλλεται.»

«Ἀπεκρίνατο δέ μοι, ὦ Σώκρατες, πρὸς ταῦτα ἡ γυνή·

ΓΥΝΗ. «Τί δ' ἂν ἐγώ σοι» ἔφη «δυναίμην συμπρᾶξαι; Τίς δὲ

---

7. Ὑπισχνουμένη πρὸς τοὺς θεούς, promettant *en s'adressant* aux dieux, promettant à la face des dieux.

8. *Τί*, l'interrogatif direct, pour *ὅ τι*, l'interrogatif indirect, comme il arrive souvent (*διηγοῦ μοι ὅ τι κτλ.*).

9. *Γυμνικὸς ἀγών*, jeu gymnique, savoir: lutte, combat du ceste, course à pied, jeu du disque, etc.; *ἱππικὸς ἀγών*, course de chars, course en selle, etc.

10. *Ἐκ τῶν δυνατῶν*, dans la mesure où il leur était possible (de choisir). On a proposé cette autre traduction: «e potentibus, divitibus»; mais elle paraît peu satifaisante pour la suite des idées.

11. *Ἐπιφέρεσθαι*, apporter en dot.

»ἡ ἐμὴ δύναμις; Ἀλλ' (12) ἐν σοὶ πάντα ἐστίν· ἐμὸν δ' ἔφησεν ἡ »μήτηρ ἔργον εἶναι σωφρονεῖν.»

I. «Ναὶ μὰ Δί',» ἔφην ἐγὼ «ὦ γύναι, καὶ γὰρ ἐμοὶ ὁ πατήρ. »Ἀλλὰ σωφρόνων τοί ἐστι καὶ ἀνδρὸς καὶ γυναικὸς οὕτω ποιεῖν »ὅπως τά τε ὄντα ὡς βέλτιστα ἕξει καὶ ἄλλα ὅτι πλεῖστα ἐκ »τοῦ καλοῦ τε καὶ δικαίου προσγενήσεται.»

ΓΥΝΗ. «Καὶ τί δὴ» ἔφη «ὁρᾷς» ἡ γυνὴ «ὅ τι ἂν ἐγὼ ποιοῦσα »συναύξοιμι τὸν οἶκον;»

I. «Ναὶ μὰ Δί',» ἔφην ἐγὼ «ἅ οἵ τε θεοὶ ἔφυσάν σε δύνα- »σθαι καὶ ὁ νόμος συνεπαινεῖ, ταῦτα πειρῶ ὡς βέλτιστα ποιεῖν.»

ΓΥΝΗ. «Καὶ τί δὴ ταῦτά ἐστιν;» ἔφη ἐκείνη.

I. «Οἶμαι μὲν ἔγωγε» ἔφην «οὐ τὰ ἐλαχίστου ἄξια, εἰ μή πέρ »γε (13) καὶ ἡ ἐν τῷ σμήνει ἡγεμὼν μέλιττα ἐπ' ἐλαχίστου ἀξίοις »ἔργοις ἐφέστηκεν. Ἐμοὶ γάρ τοι», ἔφη φάναι (14), «καὶ οἱ θεοί, »ὦ γύναι, δοκοῦσι πολὺ διεσκεμμένως μάλιστα τὸ ζεῦγος τοῦτο »συντεθεικέναι ὃ καλεῖται θῆλυ καὶ ἄρρεν, ὅπως (15) ὅτι ὠφελι- »μώτατον ᾖ αὑτῷ εἰς τὴν κοινωνίαν. Πρῶτον μὲν γὰρ τοῦ μὴ »ἐκλιπεῖν ζῴων γένη τοῦτο ζεῦγος κεῖται μετ' ἀλλήλων τεκνο- »ποιούμενον, ἔπειτα τὸ γηροβοσκοὺς κεκτῆσθαι ἑαυτοῖς ἐκ τούτου »τοῦ ζεύγους τοῖς γοῦν ἀνθρώποις πορίζεται· ἔπειτα δὲ καὶ ἡ »δίαιτα τοῖς ἀνθρώποις οὐχ ὥσπερ τοῖς κτήνεσίν ἐστιν ἐν ὑπαί- »θρῳ, ἀλλὰ στεγνῶν δεῖται δῆλον ὅτι. Δεῖ μέντοι, τοῖς μέλλουσιν »ἀνθρώποις ἕξειν ὅ τι εἰσφέρωσιν εἰς τὸ στεγνόν, τοῦ ἐργασο- »μένου (16) τὰς ἐν τῷ ὑπαίθρῳ ἐργασίας· καὶ γὰρ νεατὸς καὶ »σπόρος καὶ φυτεία καὶ νομαί, ὑπαίθρια ταῦτα πάντα ἔργα ἐστίν· »ἐκ τούτων δὲ τὰ ἐπιτήδεια γίγνεται. Δεῖ δ' αὖ, ἐπειδὰν ταῦτα εἰ- »σενεχθῇ εἰς τὸ στεγνόν, καὶ τοῦ σώσοντος ταῦτα, καὶ τοῦ ἐργα- »σομένου ἃ τῶν στεγνῶν ἔργα δεόμενά ἐστι (17). Στεγνῶν δὲ δεῖ- »ται καὶ ἡ τῶν νεογνῶν τέκνων παιδοτροφία, στεγνῶν δὲ καὶ αἱ »ἐκ τοῦ καρποῦ σιτοποιίαι δέονται· ὡσαύτως δὲ καὶ ἡ τῆς ἐσθῆ-

---

12. Ἀλλά. Pour se rendre compte de ἀλλά, il faut s.-ent. la réponse: *Je n'en ai aucune.*

13. *Εἰ μή πέρ γε*, s'il est vrai que . . . . ne . . . . pas.

14. *Ἔφη φάναι.* Ne pas perdre de vue que Socrate raconte qu'Ischomachos lui rapportrait une conversation qu'il avait eue avec sa femme. *Ἔφη, me* dit Ischomachos, *φάναι*, qu'il avait dit *à sa femme.*

15. *Μάλιστα ὅπως*, surtout dans cette vue que.

16. *Δεῖ . . . τοῦ ἐργασομένου*, et de même plus bas *δεῖ . . . τοῦ σώσοντος*, il faut quelqu'un pour faire, quelqu'un pour conserver. Cf. p. 261, n. 26.

17. *Δεόμενά ἐστι.* C'est comme s'il y avait *τοῦ ἐργασομένου τὰ ἔργα ἃ τῶν στεγνῶν δεῖται.*

»τος ἐκ τῶν ἐρίων ἐργασία. Ἐπεὶ δ' ἀμφότερα ταῦτα καὶ ἔργων »καὶ ἐπιμελείας δεῖται τά τε ἔνδον καὶ τὰ ἔξω, καὶ τὴν φύσιν» φάναι (18) «εὐθὺς παρεσκεύασεν ὁ θεός, ὡς ἐμοὶ δοκεῖ, τὴν μὲν »τῆς γυναικὸς ἐπὶ τὰ ἔνδον ἔργα καὶ ἐπιμελήματα, τὴν δὲ τοῦ »ἀνδρὸς ἐπὶ τὰ ἔξω. Ῥίγη μὲν γὰρ καὶ θάλπη καὶ ὁδοιπορίας »καὶ στρατείας τοῦ ἀνδρὸς τὸ σῶμα καὶ τὴν ψυχὴν μᾶλλον δύνα»σθαι καρτερεῖν κατεσκεύασεν (19), ὥστε τὰ ἔξω ἐπέταξεν αὐτῷ »ἔργα· τῇ δὲ γυναικὶ ἧττον τὸ σῶμα δυνατὸν πρὸς ταῦτα φύ»σας, τὰ ἔνδον ἔργα αὐτῇ» φάναι ἔφη «προστάξαι μοι δοκεῖ »ὁ θεός. Εἰδὼς δὲ ὅτι τῇ γυναικὶ καὶ ἐνέφυσε καὶ προσέταξε τὴν »τῶν νεογνῶν τέκνων τροφήν, καὶ τοῦ στέργειν τὰ νεογνὰ βρέφη »πλεῖον αὐτῇ ἐδάσατο ἢ τῷ ἀνδρί. Ἐπεὶ δὲ καὶ τὸ φυλάττειν »τὰ εἰσενεχθέντα τῇ γυναικὶ προσέταξε, γιγνώσκων ὁ θεὸς ὅτι »πρὸς τὸ φυλάττειν οὐ κάκιόν ἐστι φοβερὰν (20) εἶναι τὴν ψυχήν, »πλεῖον μέρος καὶ τοῦ φόβου ἐδάσατο τῇ γυναικὶ ἢ τῷ ἀνδρί. »Εἰδὼς δὲ ὅτι καὶ ἀρήγειν αὖ δεήσει, ἐάν τις ἀδικῇ, τὸν τὰ ἔξω »ἔργα ἔχοντα, τούτῳ αὖ πλεῖον μέρος τοῦ θράσους ἐδάσατο. »Ὅτι δ' ἀμφοτέρους δεῖ καὶ διδόναι καὶ λαμβάνειν, τὴν μνήμην »καὶ τὴν ἐπιμέλειαν εἰς τὸ μέσον ἀμφοτέροις κατέθηκεν. Ὥστε οὐκ »ἂν ἔχοις διελεῖν πότερα τὸ ἔθνος τὸ θῆλυ ἢ τὸ ἄρρεν τούτων »πλεονεκτεῖ. Καὶ τὸ ἐγκρατεῖς δὲ εἶναι ὧν δεῖ εἰς τὸ μέσον ἀμ»φοτέροις κατέθηκε, καὶ ἐξουσίαν ἐποίησεν ὁ θεὸς ὁπότερος ἂν »ᾖ βελτίων, εἴθ' ὁ ἀνὴρ εἴθ' ἡ γυνή τοῦτον καὶ πλεῖον φέρεσθαι »τούτου τοῦ ἀγαθοῦ. Διὰ δὲ τὸ τὴν φύσιν μὴ πρὸς πάντα ταὐ»τὰ ἀμφοτέρων εὖ πεφυκέναι, διὰ τοῦτο καὶ δέονται μᾶλλον ἀλ»λήλων καὶ τὸ ζεῦγος ὠφελιμώτερον ἑαυτῷ γεγένηται, ἃ τὸ ἕτε»ρον ἐλλείπεται (21) τὸ ἕτερον δυνάμενον (22). Ταῦτα δὲ» ἔφη «δεῖ ἡμᾶς, ὦ γύναι, εἰδότας, ἃ ἑκατέρῳ ἡμῶν προστέτακται ὑπὸ »τοῦ θεοῦ, πειρᾶσθαι ὅπως βέλτιστα τὰ προσήκοντα ἑκάτερον »ἡμῶν διαπράττεσθαι (23). Συνεπαινεῖ δὲ» ἔφη φάναι καὶ ὁ νό-

---

18. *Φάναι, dit Ischomachos* qu'il disait.

19. *Ῥίγη τὸ σῶμα δύνασθαι καρτερεῖν κατεσκεύασεν*, il a bâti le corps *de façon à* pouvoir supporter le froid.

20. *Φοβέρος*, craintif (acception rare).

21. *Ἃ τὸ ἕτερον ἐλλείπεται*, ce dont l'autre est incapable.

22. *Τὸ ἕτερον*, au même cas que *τὸ ζεῦγος*, expression collective dont il désigne un membre. En grec, le mot qui désigne la partie reste ainsi souvent au même cas que celui qui a servi à désigner le tout. On aurait ici en latin l'ablatif absolu.

23. Construisez: *Δεῖ ἡμᾶς εἰδότας ταῦτα, ἃ ἑκατέρῳ κτλ., πειρᾶσθαι διαπράττεσθαι ὅπως βέλτιστα τὰ προσήκοντα.* — *Ἑκάτερον ἡμῶν* (essayer de faire chacun, etc.), à l'accusatif comme *ἡμᾶς*, à cause du rapport de tout

»μος αὐτά, συζευγνὺς ἄνδρα καὶ γυναῖκα. Καὶ κοινωνοὺς ὥσπερ »τῶν τέκνων ὁ θεὸς ἐποίησεν, οὕτω καὶ ὁ νόμος τοῦ οἴκου[24] »καθίστησι. Καὶ καλὰ δὲ εἶναι ὁ νόμος ἀποδείκνυσιν ἃ ὁ θεὸς »ἔφυσεν ἑκάτερον μᾶλλον δύνασθαι. Τῇ μὲν γὰρ γυναικὶ κάλλιον »ἔνδον μένειν ἢ θυραυλεῖν, τῷ δὲ ἀνδρὶ αἴσχιον ἔνδον μένειν ἢ »τῶν ἔξω ἐπιμελεῖσθαι. Εἰ δέ τις παρ' ἃ ὁ θεὸς ἔφυσε ποιεῖ, »ἴσως τι καὶ ἀτακτῶν τοὺς θεοὺς οὐ λήθει, καὶ δίκην δίδωσιν »ἀμελῶν τῶν ἔργων τῶν ἑαυτοῦ ἢ πράττων τὰ τῆς γυναικὸς ἔργα. »Δοκεῖ δέ μοι» ἔφην «καὶ ἡ τῶν μελιττῶν ἡγεμὼν τοιαῦτα ἔργα »ὑπὸ τοῦ θεοῦ προστεταγμένα διαπονεῖσθαι.»

ΓΥΝΗ. «Καὶ ποῖα δὴ» ἔφη ἐκείνη «ἔργα ἔχουσα ἡ τῶν με»λιττῶν ἡγεμὼν ἐξομοιοῦται τοῖς ἔργοις οἷς[25] ἐμὲ δεῖ πράττειν.»

Ι. «Ὅτι» ἔφην ἐγὼ «ἐκείνη γε ἐν τῷ σμήνει μένουσα οὐκ ἐᾷ »ἀργοὺς τὰς μελίττας εἶναι, ἀλλ' ἃς μὲν δεῖ ἔξω ἐργάζεσθαι ἐκ»πέμπει ἐπὶ τὸ ἔργον, καὶ ἃ ἂν αὐτῶν ἑκάστη εἰσφέρῃ οἶδέ τε »καὶ δέχεται, καὶ σώζει ταῦτα ἔστ' ἂν δέῃ χρῆσθαι. Ἐπειδὰν δὲ »ἡ ὥρα τοῦ χρῆσθαι ἥκῃ, διανέμει τὸ δίκαιον ἑκάστῃ. Καὶ ἐπὶ »τοῖς ἔνδον δ' ἐξυφαινομένοις κηρίοις ἐφέστηκεν, ὡς καλῶς καὶ »ταχέως ὑφαίνηται, καὶ τοῦ γιγνομένου τόκου ἐπιμελεῖται ὡς ἐκ»τρέφηται· ἐπειδὰν δὲ ἐκτραφῇ καὶ ἀξιοεργοὶ οἱ νεοττοὶ γένωνται, »ἀποικίζει[26] αὐτοὺς σὺν τῶν ἐπιγόνων τινὶ ἡγεμόνι.»

ΓΥΝΗ. «Ἦ καὶ ἐμὲ οὖν» ἔφη ἡ γυνὴ «δεήσει ταῦτα ποιεῖν;»

Ι. «Δεήσει μέντοι[27] σε» ἔφην ἐγὼ «ἔνδον τε μένειν, καὶ »οἷς μὲν ἂν ἔξω τὸ ἔργον ᾖ τῶν οἰκετῶν, τούτους συνεκπέμπειν, »οἷς δ' ἂν ἔνδον ἔργον ἐργαστέον, τούτων σοι ἐπιστατητέον· καὶ »τά τε εἰσφερόμενα ἀποδεκτέον, καὶ ἃ μὲν ἂν αὐτῶν δέῃ δαπα»νᾶν σοὶ διανεμητέον, ἃ δ' ἂν περιττεύειν δέῃ προνοητέον, καὶ »φυλακτέον ὅπως μὴ ἡ εἰς τὸν ἐνιαυτὸν κειμένη δαπάνη εἰς τὸν »μῆνα δαπανᾶται· καὶ ὅταν ἔρια εἰσενεχθῇ σοι, ἐπιμελητέον ὅπως »οἷς δεῖ ἱμάτια γίγνηται· καὶ ὅ γε ξηρὸς σῖτος ὅπως καλῶς ἐδώ»διμος γίγνηται ἐπιμελητέον. Ἓν μέντοι τῶν σοὶ προσηκόντων» ἔφην ἐγὼ «ἐπιμελημάτων[28] ἴσως ἀχαριτώτερον δόξει εἶναι, ὅτι

---

et de partie: voy. la note précédente. — Ὅπως βέλτιστα, équivalent ionien de ὡς βέλτιστα.

24. Τοῦ οἴκου, sous-entendu κοινωνούς.

25. Οἷς, attraction pour ἅ. — La comparaison est énoncée dans une forme grammaticalement peu rigoureuse. Le sens est: Quelles sont les occupations de la reine des abeilles, qui sont comparables à celles de la ménagère?

26. Ἀποικίζει, elle les envoie fonder une colonie.

27. Μέντοι. Cf. p. 246, note 15.

28. Τῶν . . . . ἐπιμελημάτων dépend de ἕν (et non du comparatif).

» ὃς ἂν κάμνῃ τῶν οἰκετῶν, τούτου σοι ἐπιμελητέον πάντως ὅπως » θεραπεύηται. »

ΓΥΝΗ. « Νὴ Δί', » ἔφη ἡ γυνὴ « ἐπιχαριτώτατον μὲν οὖν, ἢν » μέλλωσί γε οἱ καλῶς θεραπευθέντες χάριν εἴσεσθαι καὶ εὐνού- » στεροι ἢ πρόσθεν ἔσεσθαι. »

« Καὶ ἐγὼ » ἔφη ὁ Ἰσχόμαχος « ἀγασθεὶς αὐτῆς τὴν ἀπόκρισιν εἶπον·

Ι. « Ἆρά γε, ὦ γύναι, διὰ τοιαύτας τινὰς προνοίας καὶ τῆς ἐν » τῷ σμήνει ἡγεμόνος αἱ μέλιτται οὕτω διατίθενται πρὸς αὐτὴν, » ὥστε, ὅταν ἐκείνη ἐκλίπῃ (29), οὐδεμία οἴεται τῶν μελιττῶν ἀπο- » λειπτέον εἶναι, ἀλλ' ἕπονται πᾶσαι; »

« Καὶ ἡ γυνή μοι ἀπεκρίνατο·

ΓΥΝΗ. « Θαυμάζοιμ' ἂν » ἔφη « εἰ μὴ πρὸς σὲ μᾶλλον τείνοι » τὰ τοῦ ἡγεμόνος ἔργα ἢ πρὸς ἐμέ. Ἡ γὰρ ἐμὴ φυλακὴ τῶν » ἔνδον καὶ διανομὴ γελοία τις ἄν, οἶμαι, φαίνοιτο, εἰ μὴ σύ γε » ἐπιμελοῖο ὅπως ἔξωθέν τι εἰσφέροιτο. »

Ι. « Γελοία δ' αὖ » ἔφην ἐγὼ « ἡ ἐμὴ εἰσφορὰ φαίνοιτ' ἄν, εἰ » μὴ εἴη ὅστις τὰ εἰσενεχθέντα σώζοι. Οὐχ ὁρᾷς » ἔφην ἐγὼ « οἱ » εἰς τὸν τετρημένον πίθον ἀντλεῖν (30) λεγόμενοι ὡς οἰκτείρον- » ται, ὅτι μάτην πονεῖν δοκοῦσι; »

ΓΥΝΗ. « Νὴ Δί', » ἔφη ἡ γυνὴ « καὶ γὰρ τλήμονές εἰσιν, εἰ » τοῦτό γε ποιοῦσιν. »

Ι. « Ἄλλαι δέ τοι » ἔφην ἐγὼ « ἴδιαι ἐπιμέλειαι, ὦ γύναι, ἡδεῖαί » σοι γίγνονται, ὁπόταν ἀνεπιστήμονα ταλασίας λαβοῦσα ἐπιστή- » μονα (31) ποιήσῃς καὶ διπλασίου σοι ἀξία γένηται, καὶ ὁπόταν » ἀνεπιστήμονα ταμιείας καὶ διακονίας παραλαβοῦσα ἐπιστήμονα » καὶ πιστὴν καὶ διακονικὴν ποιησαμένη παντὸς ἀξίαν (32) ἔχῃς, καὶ » ὁπόταν τοὺς μὲν σώφρονάς τε καὶ ὠφελίμους τῷ σῷ οἴκῳ ἐξῇ » σοι εὖ ποιῆσαι, ἐὰν δέ τις πονηρὸς φαίνηται, ἐξῇ σοι κολάσαι· » τὸ δὲ πάντων ἥδιστον, ἐὰν βελτίων ἐμοῦ φανῇς, καὶ ἐμὲ σὸν » θεράποντα ποιήσῃ (33), καὶ μὴ δέῃ σε φοβεῖσθαι μή, προϊού- » σης τῆς ἡλικίας, ἀτιμοτέρα ἐν τῷ οἴκῳ γένῃ, ἀλλὰ πιστεύῃς ὅτι » πρεσβυτέρα γιγνομένη ὅσῳ ἂν καὶ ἐμοὶ κοινωνὸς καὶ παισὶν οἴ- » κου φύλαξ ἀμείνων γίγνῃ, τοσούτῳ καὶ τιμιωτέρα ἐν τῷ οἴκῳ

---

29. Ἐκλίπῃ, sous-ent. αὐτό, c'est-à-dire τὸ σμῆνος.
30. Proverbe souvent cité: Εἰς τὸν τετρημένον πίθον ἀντλεῖς.
31. Ἐπιστήμονα, sous-ent. τινά (une servante).
32. Παντὸς ἀξίαν, d'un prix inestimable.
33. Ποιεῖν, facere. Ποιεῖσθαι, sibi facere, sibi reddere.

»έσει ([34]). Τὰ γὰρ καλά τε κἀγαθὰ » ἐγὼ ἔφην « οὐ διὰ τὰς »ὡραιότητας, ἀλλὰ διὰ τὰς ἀρετὰς εἰς τὸν βίον τοῖς ἀνθρώποις »ἐπαύξεται. »

« Τοιαῦτα μὲν, ὦ Σώκρατες, δοκῶ μεμνῆσθαι αὐτῇ τὰ πρῶτα »διαλεχθείς. »

CHAPITRE VIII.

Σ. « Ἦ καὶ ἐπέγνως τι, ὦ Ἰσχόμαχε, » ἔφην ἐγὼ « ἐκ τούτων ([1]) αὐτὴν κεκινημένην μᾶλλον πρὸς τὴν ἐπιμέλειαν; »

Ι. « Ναὶ μὰ Δί', » ἔφη ὁ Ἰσχόμαχος « καὶ δηχθεῖσάν γε οἶδα αὐτὴν καὶ ἐρυθριάσασαν σφόδρα ὅτι τῶν εἰσενεχθέντων τι αἰτήσαντος ἐμοῦ οὐκ εἶχέ μοι δοῦναι. Καὶ ἐγὼ μέντοι ἰδὼν ἀχθεσθεῖσαν αὐτὴν εἶπον·

« Μηδέν τι » ἔφην « ἀθυμήσῃς, ὦ γύναι, ὅτι οὐκ ἔχεις δοῦναι »ὃ σε αἰτῶν τυγχάνω. Ἔστι μὲν γὰρ πενία αὕτη ([2]) σαφὴς, τὸ »δεόμενόν τινος μὴ ἔχειν χρῆσθαι· ἀλυποτέρα δὲ αὕτη ἡ ἔνδεια »τὸ ζητοῦντά τι μὴ δύνασθαι λαβεῖν ἢ τὴν ἀρχὴν ([3]) μηδὲ ζητεῖν »εἰδότα ὅτι οὐκ ἔστιν. Ἀλλὰ γὰρ » ἔφην ἐγὼ « τούτων οὐ σὺ αἰτία· »ἀλλ' ἐγὼ ([4]) οὐ τάξας σοι παρέδωκα ὅπου χρὴ ἕκαστα κεῖσθαι, »ὅπως εἰδῇς ὅπου τε δεῖ τιθέναι καὶ ὁπόθεν λαμβάνειν. Ἔστι »δ' οὐδὲν οὕτως, ὦ γύναι, οὔτ' εὔχρηστον οὔτε καλὸν ἀνθρώποις »ὡς τάξις. Καὶ γὰρ χορὸς ἐξ ἀνθρώπων συγκείμενός ἐστιν· ἀλλ' »ὅταν μὲν ποιῶσιν ὅ τι ἂν τύχῃ ἕκαστος, ταραχή τις φαίνεται »καὶ θεᾶσθαι ἀτερπὲς, ὅταν δὲ τεταγμένως ποιῶσι καὶ φθέγ»γωνται, ἅμα οἱ αὐτοὶ οὗτοι καὶ ἀξιοθέατοι δοκοῦσιν εἶναι καὶ »ἀξιάκουστοι. Καὶ στρατιά γε, » ἔφην ἐγὼ « ὦ γύναι, ἄτακτος μὲν »οὖσα ταραχωδέστατον, καὶ τοῖς μὲν πολεμίοις εὐχειρωτότατον, »τοῖς δὲ φίλοις ἀηδέστατον ὁρᾶν καὶ ἀχρηστότατον, ὄνος ὁμοῦ, »ὁπλίτης, σκευοφόρος, ψιλὸς, ἱππεὺς, ἅμαξα. Πῶς γὰρ ἂν πορευ»θεῖεν, ἐὰν ἔχοντες οὕτως ἐπικωλύσωσιν ἀλλήλους, ὁ μὲν βαδίζων »τὸν τρέχοντα, ὁ δὲ τρέχων τὸν ἑστηκότα, ἡ δὲ ἅμαξα τὸν ἱππέα, »ὁ δὲ ὄνος τὴν ἅμαξαν, ὁ δὲ σκευοφόρος τὸν ὁπλίτην; Εἰ δὲ καὶ »μάχεσθαι δέοι, πῶς ἂν οὕτως ἔχοντες μαχέσαιντο; οἷς γὰρ

34. Ἔσει. Cf. la note 17 de la page 246.
Ch. VIII. 1. Ἐκ τούτων, à la suite de ces paroles.
2. Αὕτη, au fém. à cause de πενία; même sens que τοῦτο: τοῦτό ἐστι πενία σαφὴς, τὸ κτλ.
3. Cf. page 252, note 32.
4. Ἀλλ' ἐγώ, c'est moi qui.

»*ἀνάγκη αὐτῶν* (5) *τοὺς ἐπιόντας φεύγειν, οὗτοι ἱκανοί εἰσι* »*φεύγοντες καταπατῆσαι τοὺς ὅπλα ἔχοντας. Τεταγμένη δὲ* »*στρατιὰ κάλλιστον μὲν ἰδεῖν τοῖς φίλοις, δυσχερέστατον δὲ τοῖς* »*πολεμίοις. Τίς μὲν γὰρ οὐκ ἂν φίλος ἡδέως θεάσαιτο ὁπλί-* »*τας πολλοὺς ἐν τάξει πορευομένους, τίς δ' οὐκ ἂν θαυμάσειεν* »*ἱππέας κατὰ τάξεις ἐλαύνοντας, τίς δ' οὐκ ἂν πολέμιος φοβη-* »*θείη ἰδὼν διηυκρινημένους ὁπλίτας, ἱππέας, πελταστάς, τοξό-* »*τας, σφενδονήτας, καὶ τοῖς ἄρχουσι τεταγμένως ἑπομένους;* »*Ἀλλὰ καὶ πορευομένων ἐν τάξει, κἂν πολλαὶ μυριάδες ὦσιν,* »*ὁμοίως, ὥσπερ εἷς ἕκαστος, καθ' ἡσυχίαν πάντες πορεύον-* »*ται· εἰς γὰρ τὸ κενούμενον ἀεὶ* (6) *οἱ ὄπισθεν ἐπέρχονται. Καὶ* »*τριήρης δέ τοι ἡ σεσαγμένη ἀνθρώπων διὰ τί ἄλλο φοβερόν* »*ἐστι πολεμίοις ἢ φίλοις ἀξιοθέατον ἢ ὅτι ταχὺ πλεῖ; Διὰ τί* »*δὲ ἄλλο ἄλυποι ἀλλήλοις εἰσὶν οἱ ἐμπλέοντες ἢ διότι ἐν τάξει* »*μὲν κάθηνται, ἐν τάξει δὲ προνεύουσιν, ἐν τάξει δ' ἀναπίπτουσιν,* »*ἐν τάξει δ' ἐμβαίνουσι καὶ ἐκβαίνουσιν; Ἡ δ' ἀταξία ὅμοιόν τί μοι* »*δοκεῖ εἶναι οἷόνπερ εἰ γεωργὸς ὁμοῦ ἐμβάλοι κριθὰς καὶ πυροὺς* »*καὶ ὄσπρια· κἄπειτα, ὁπότε δέοι ἢ μάζης ἢ ἄρτου ἢ ὄψου* (7), *δια-* »*λέγειν δέοι αὐτῷ ἀντὶ τοῦ λαβόντα διηυκρινημένοις χρῆσθαι.* »*Καὶ σὺ οὖν, ὦ γύναι, εἰ τοῦ μὲν ταράχου τούτου μὴ δέοιο, βού-* »*λοιο δ' ἀκριβῶς διοικεῖν τὰ ὄντα εἰδέναι, καὶ τῶν ὄντων εὐπό-* »*ρως λαμβάνουσα ὅτῳ ἂν δέῃ χρῆσθαι, καὶ ἐμοί, ἐάν τι αἰτῶ,* »*ἐν χάριτι διδόναι, χώραν τε δοκιμασώμεθα τὴν προσήκουσαν* »*ἑκάστοις ἔχειν* (8) *καί, ἐν ταύτῃ θέντες, διδάξωμεν τὴν διάκονον* »*λαμβάνειν τε ἐντεῦθεν καὶ κατατιθέναι πάλιν εἰς ταύτην· καὶ* »*οὕτως εἰσόμεθα τά τε σᾶ* (9) *ὄντα καὶ τὰ μή* (10) *· ἡ γὰρ χώρα* »*αὐτὴ τὸ μὴ ὂν ποθήσει, καὶ τὸ δεόμενον θεραπείας ἐξετάσει ἡ* »*ὄψις, καὶ τὸ εἰδέναι ὅπου ἕκαστόν ἐστι ταχὺ ἐγχειριεῖ* (11), *ὥστε* »*μὴ ἀπορεῖν χρῆσθαι.*»

---

5. *Οἷς αὐτῶν*, ceux d'entre eux pour qui. — Il s'agit du train, de la cavalerie et des troupes légères, par opposition aux hoplites (*οἱ ὅπλα ἔχοντες*).

6. *Τὸ κενούμενον ἀεί*, le vide qui se produit chaque fois que les soldats du rang précédent avancent une jambe. — *Ἀεί*, qui se produit sans cesse.

7. *Μᾶζα*, sorte de galette faite d'orge; le pain se faisait de pur froment; *ὄψον*, un plat: il s'agit ici d'un plat de fèves, de pois ou d'autres légumineuses.

8. *Τὴν προσηκοῦσαν ἑκάστοις ἔχειν*, celle qu'il est convenable pour chaque chose d'avoir.

9. *Σᾶ*. Voy. p. 255, n. 4.

10. *Καὶ τὰ μή*, comme *καὶ εἴ τινα μὴ σᾶ ἐστι*, ce qui explique l'emploi de *μή* (et non de *οὐ*).

11. *Ἐγχειριεῖ*. Les Attiques, pour les verbes, à trois ou plus de trois

« Καλλίστην δέ ποτε καὶ ἀκριβεστάτην ἔδοξα σκευῶν τάξιν ἰδεῖν, ὦ Σώκρατες, εἰσβὰς ἐπὶ θέαν εἰς τὸ μέγα πλοῖον τὸν Φοινικικόν (12). Πλεῖστα γὰρ σκεύη ἐν σμικροτάτῳ ἀγγείῳ διακεχωρισμένα ἐθεασάμην. Διὰ πολλῶν μὲν γὰρ δήπου » ἔφη « ξυλίνων σκευῶν (13) καὶ πλεκτῶν ὁρμίζεται ναῦς καὶ ἀνάγεται, διὰ πολλῶν δὲ τῶν κρεμαστῶν καλουμένων πλεῖ, πολλοῖς δὲ μηχανήμασιν (14) ἀνθώπλισται πρὸς τὰ πολέμια πλοῖα, πολλὰ δὲ ὅπλα τοῖς ἀνδράσι συμπεριάγει, πάντα δὲ σκεύη ὅσοισπερ ἐν οἰκίᾳ χρῶνται ἄνθρωποι τῇ συσσιτίᾳ ἑκάστῃ κομίζει· γέμει δὲ παρὰ πάντα φορτίων ὅσα ναύκληρος κέρδους ἕνεκα ἄγεται. Καὶ ὅσα λέγω » ἔφη « ἐγώ, πάντα οὐκ ἐν πολλῷ τινι μείζονι χώρᾳ ἔκειτο ἢ ἐν δεκακλίνῳ στέγῃ συμμέτρῳ (15). Καὶ οὕτω κείμενα ἕκαστα κατενόησα ὡς οὔτε ἄλληλα ἐμποδίζει οὔτε μαστευτοῦ δεῖται οὔτε ἀσυσκεύαστά ἐστιν οὔτε δυσλύτως ἔχει, ὥστε διατριβὴν παρέχειν, ὅταν τῳ ταχὺ δέῃ χρῆσθαι. Τὸν δὲ τοῦ κυβερνήτου διάκονον, ὃς πρωρεὺς τῆς νεὼς καλεῖται, οὕτως ηὗρον ἐπιστάμενον ἑκάστων τὴν χώραν ὡς καὶ ἀπὼν ἂν εἴποι ὅπου ἕκαστα κεῖται καὶ ὁπόσα ἐστίν, οὐδὲν ἧττον ἢ ὁ γράμματα ἐπιστάμενος εἴποι ἂν Σωκράτους καὶ ὁπόσα γράμματα καὶ ὅπου ἕκαστον τέτακται. Εἶδον δὲ » ἔφη ὁ Ἰσχόμαχος « καὶ ἐξετάζοντα τοῦτον αὐτὸν ἐν τῇ σχολῇ πάντα ὁπόσοις ἄρα δεῖ ἐν τῷ πλῷ χρᾶσθαι. Θαυμάσας δὲ » ἔφη « τὴν ἐπίσκεψιν αὐτοῦ ἠρόμην τί πράττοι. Ὁ δ' εἶπεν· « Ἐπισκοπῶ, » ἔφη « ὦ ξένε, εἴ τι » συμβαίνοι γίγνεσθαι, πῶς κεῖται » ἔφη « τὰ ἐν τῇ νηί, εἴ τι ἀπο- » στατεῖ ἢ εἰ δυστραπέλως τι σύγκειται. Οὐ γὰρ » ἔφη « ἐγχωρεῖ, » ὅταν χειμάζῃ ὁ θεὸς ἐν τῇ θαλάττῃ, οὔτε μαστεύειν ὅτου ἂν δέῃ » οὔτε δυστραπέλως ἔχον διδόναι. Ἀπειλεῖ γὰρ ὁ θεὸς καὶ κολάζει » τοὺς βλᾶκας· ἐὰν δὲ μόνον μὴ ἀπολέσῃ τοὺς μὴ ἁμαρτάνοντας, πάνυ

---

syllabes, en *ίζω*, emploient régulièrement, au lieu de la forme commune en *ίσω*, le futur contracte en *ιῶ*.

12. *Πλοῖον τὸ Φοινικικόν*. Ischomachos parle évidemment d'un certain vaisseau, bien connu alors dans le port d'Athènes, qui, sans doute, faisait un service régulier entre une autre contrée et Athènes.

13. *Σκευῶν*, les agrès, c'est-à-dire dans un vaisseau tout ce qui n'est pas la coque. Ils se divisent ordinairement en *σκεύη ξύλινα*, à savoir les rames, avirons, gouvernails, mâts, vergues, etc., et en *σκεύη κρεμαστά*, voiles, cordages, ancres, etc. Dans le texte ci-dessus, les cordages sont désignés par l'expression spéciale de *σκεύη πλεκτά*.

14. *Μηχανήμασιν*, engins de guerre.

15. *Δεκακλίνῳ στέγῃ συμμέτρῳ*. On traduit généralement: « salle à manger ordinaire à dix lits. » Nous entendons autrement: *Δεκάκλινος*, de la contenance de 10 *κλίναι*, soit 100 coudées carrées ou 25 mètres carrés. *Στέγη*, salle ou étage; *συμμέτρῳ*, bien proportionné.

»ἀγαπητόν· ἐὰν δὲ καὶ πάνυ καλῶς ὑπηρετοῦντας σώζῃ, πολλὴ
»χάρις» ἔφη «τοῖς θεοῖς(16).»

«Ἐγὼ οὖν κατιδὼν ταύτην τὴν ἀκρίβειαν τῆς κατασκευῆς ἔλεγον
»τῇ γυναικὶ ὅτι «Πάνυ ἂν ἡμῶν εἴη βλακικόν, εἰ οἱ μὲν ἐν τοῖς
»πλοίοις καὶ μικροῖς οὖσι χώρας εὑρίσκουσι, καὶ σαλεύοντες ἰσχυ-
»ρῶς ὅμως σώζουσι τὴν τάξιν, καὶ ὑπερφοβούμενοι ὅμως εὑρί-
»σκουσι τὸ δέον λαμβάνειν, ἡμεῖς δὲ καὶ διῃρημένων ἑκάστοις
»θηκῶν ἐν τῇ οἰκίᾳ μεγάλων καὶ βεβηκυίας τῆς οἰκίας ἐν δαπέδῳ,
»μὴ εὑρήσομεν καλὴν καὶ εὐεύρετον χώραν ἑκάστοις αὐτῶν. Ὡς
»μὲν δὴ ἀγαθὸν τετάχθαι σκευῶν κατασκευήν, καὶ ὡς ῥᾴδιον
»χώραν ἑκάστοις αὐτῶν εὑρεῖν ἐν οἰκίᾳ θεῖναι(17) ὡς ἑκάστοις
»συμφέρει, εἴρηται· ὡς(18) δὲ καλὸν φαίνεται, ἐπειδὰν ὑποδήματα
»ἐφεξῆς κέηται, κἂν ὁποῖα ᾖ (19), καλὸν δὲ ἱμάτια κεχωρισμένα
»ἰδεῖν, κἂν ὁποῖα ᾖ, καλὸν δὲ στρώματα, καλὸν δὲ χαλκία, καλὸν
»δὲ τὰ ἀμφὶ τραπέζας, καλὸν δὲ καὶ — ὃ πάντων καταγελάσειεν
»ἂν μάλιστα οὐχ ὁ σεμνός, ἀλλ' ὁ κομψός, ὅτι καὶ χύτρας φημὶ
»εὔρυθμον φαίνεσθαι εὐκρινῶς κειμένας. Τὰ δὲ ἄλλα ἤδη που
»ἀπὸ τούτου (20) ἅπαντα καλλίω φαίνεται. Χορὸς γὰρ σκευῶν
»ἕκαστα φαίνεται, κατὰ κόσμον κείμενα(21). Καὶ τὸ μέσον δὲ τού-
»των καλὸν φαίνεται, ἐκποδὼν ἑκάστου κειμένου· ὥσπερ κύκλιος
»χορὸς(22) οὐ μόνον αὐτὸς καλὸν θέαμά ἐστιν, ἀλλὰ καὶ τὸ μέσον
»αὐτοῦ καλὸν καὶ καθαρὸν φαίνεται. Εἰ δ' ἀληθῆ ταῦτα λέγω,
»ἔξεστιν,» ἔφην «ὦ γύναι, καὶ πεῖραν λαμβάνειν αὐτῶν οὔτε τι
»ζημιωθέντας οὔτε πολλὰ πονήσαντας. Ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ
»ἀθυμῆσαι, ὦ γύναι,» ἔφην ἐγὼ «ὡς χαλεπὸν εὑρεῖν τὸν μαθη-
»σόμενόν(23) τε τὰς χώρας καὶ μεμνησόμενον καταχωρίζειν ἕκαστα.
»Ἴσμεν γὰρ δήπου ὅτι μυριοπλάσια ἡμῶν(24) ἅπαντα ἔχει ἡ πᾶσα
»πόλις, ἀλλ' ὅμως ὁποῖον ἂν τῶν οἰκετῶν κελεύσῃς πριάμενόν τί

---

16. Ὁ θεός — τοῖς θεοῖς. Le dieu dont parle le pilote, qui fait la tempête sur la mer, qui menace et châtie les négligents, qui sauve ceux qui ont bien rempli leur devoir de matelots, apparaît ici comme un «génie des mers» subordonné à la puissance «des dieux.»

17. Χώραν . . . . θεῖναι, un endroit *pour les* placer.

18. Ὡς κτλ. *quam pulchrum!*

19. Κἂν ὁποῖα ᾖ = καὶ ὁποῖα ἂν ᾖ, quelles qu'elles soient.

20. Ἀπὸ τούτου, par le fait d'être εὐκρινῶς κείμενα.

21. Ἕκαστα, toute espèce de choses. — Κατὰ κόσμον κείμενα, quand elles sont mises en ordre. De même à la ligne suivante, ἐκποδὼν ἑκάστου κειμένου, quand chaque objet est à distance (du centre).

22. Κύκλιος χορός. Les chœurs cycliques étaient formés soit d'hommes, soit d'enfants, chantant en rond autour de l'autel d'une divinité.

23. Cf. la n. 26 de la p. 261.

24. Μυριοπλάσια ἡμῶν équivaut à μυριοπλάσια ἢ ἡμεῖς.

»σοι ἐξ ἀγορᾶς ἐνεγκεῖν, οὐδεὶς ἀπορήσει, ἀλλὰ πᾶς εἰδὼς φα»νεῖται ὅποι χρὴ ἐλθόντα λαβεῖν ἕκαστα. Τούτου μέντοι» ἔφην ἐγὼ «οὐδὲν ἄλλο αἴτιόν ἐστιν ἢ ὅτι ἐν χώρᾳ κεῖται τεταγμένη. »Ἄνθρωπον δέ γε ζητῶν, καὶ ταῦτα ἐνίοτε ἀντιζητοῦντα, πολ»λάκις ἂν τις πρότερον πρὶν εὑρεῖν ἀπείποι. Καὶ τούτου αὖ »οὐδὲν ἄλλο αἴτιόν ἐστιν ἢ τὸ μὴ εἶναι τεταγμένον ὅπου ἕκαστον »δεῖ ἀναμένειν.»

«Περὶ μὲν δὴ τάξεως σκευῶν καὶ χρήσεως τοιαῦτα αὐτῇ διαλεχθεὶς δοκῶ μεμνῆσθαι.»

CHAPITRE IX.

Σ. «Καὶ τί δή; Ἡ γυνὴ ἐδόκει σοι,» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, πώς τι ὑπακούειν ὧν σὺ ἐσπούδαζες διδάσκων;»

I. «Τί δέ, εἰ μὴ ὑπισχνεῖτό γε (1) ἐπιμελήσεσθαι καὶ φανερὰ ἦν ἡδομένη ἰσχυρῶς, ὥσπερ ἐξ ἀμηχανίας εὐπορίαν τινὰ ηὑρηκυῖα, καὶ ἐδεῖτό μου ὡς τάχιστα ᾗπερ ἔλεγον διατάξαι.»

Σ. «Καὶ πῶς δή» ἔφην ἐγὼ «ὦ Ἰσχόμαχε, διέταξας αὐτῇ;»

I. «Τί δέ, εἰ μὴ τῆς οἰκίας τὴν δύναμιν γ' ἔδοξέ μοι πρῶτον ἐπιδεῖξαι αὐτῇ. Οὐ γὰρ ποικίλμασι κεκόσμηται, ὦ Σώκρατες, ἀλλὰ τὰ οἰκήματα ᾠκοδόμηται πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα (2) ὅπως ἀγγεῖα ὡς συμφορώτατα ᾖ τοῖς μέλλουσιν ἐν αὐτοῖς ἔσεσθαι, ὥστε αὐτὰ ἐκάλει τὰ πρέποντα ἑνὶ ἑκάστῳ. Ὁ μὲν γὰρ θάλαμος ἐν ὀχυρῷ ὢν τὰ πλείστου ἄξια καὶ στρώματα καὶ σκεύη παρεκάλει, τὰ δὲ ξηρὰ τῶν στεγνῶν τὸν σῖτον, τὰ δὲ ψυχεινὰ τὸν οἶνον, τὰ δὲ φανὰ ὅσα φάους δεόμενα ἔργα τε καὶ σκεύη ἐστί. Καὶ διαιτητήρια δὲ τοῖς ἀνθρώποις ἐπεδείκνυον αὐτῇ κεκαλλωπισμένα τοῦ μὲν θέρους ψυχεινά, τοῦ δὲ χειμῶνος ἀλεεινά (3). Καὶ σύμπασαν δὲ τὴν οἰκίαν ἐπέδειξα αὐτῇ ὅτι πρὸς μεσημβρίαν ἀναπέπταται (4), ὥστε εὔδηλον εἶναι ὅτι χειμῶνος μὲν εὐειλός ἐστι, τοῦ δὲ θέρους εὔσκιος. Ἔδειξα δὲ καὶ τὴν γυναικωνῖτιν αὐτῇ, θύρᾳ βαλανωτῇ (5)

Ch. IX. 1.] *Τί δέ, εἰ μή... γε*, et quoi, et qu'arriva-t-il, sinon que...?

2. *Πρὸς αὐτὸ τοῦτο ἐσκεμμένα*, étudiées, calculées en vue de ceci.

3. Phrase évidemment altérée.

4. *Πρὸς μεσημβρίαν ἀναπέπταται*, s'ouvre au midi. C'est-à-dire que la façade principale était au midi: les fenêtres, fermées uniquement par des volets de bois, s'ouvraient en dehors. En laissant les volets fermés, l'été, pendant la chaleur, on conservait la fraîcheur dans les appartements; on les ouvrait l'hiver, quand il faisait soleil.

5. *Θύρᾳ βαλανωτῇ*, porte fermée avec un *βάλανος*, nous dirions *à clef*. — Une traverse horizontale (*μοχλός*), fixée au battant de la porte et le

ὡρισμένην ἀπὸ τῆς ἀνδρωνίτιδος, ἵνα μήτε ἐκφέρηται ἔνδοθεν ὅ τι μὴ δεῖ, μήτε τεκνοποιῶνται οἱ οἰκέται ἄνευ τῆς ἡμετέρας γνώμης. Οἱ μὲν γὰρ χρηστοὶ παιδοποιησάμενοι εὐνούστεροι ὡς ἐπὶ τὸ πολὺ, οἱ δὲ πονηροὶ συζυγέντες εὐπορώτεροι πρὸς τὸ κακουργεῖν γίγνονται. Ἐπεὶ δὲ ταῦτα διήλθομεν,» ἔφη «οὕτω δὴ κατὰ φυλὰς διεκρίνομεν τὰ ἔπιπλα. Ἠρχόμεθα δὲ πρῶτον» ἔφη «ἀθροίζοντες οἷς ἀμφὶ θυσίας χρώμεθα. Μετὰ ταῦτα κόσμον γυναικὸς τὸν εἰς ἑορτὰς διῃροῦμεν, ἐσθῆτα ἀνδρὸς τὴν εἰς ἑορτὰς καὶ πόλεμον· καὶ στρώματα ἐν γυναικωνίτιδι, στρώματα ἐν ἀνδρωνίτιδι· ὑποδήματα γυναικεῖα, ὑποδήματα ἀνδρεῖα· ὅπλων ἄλλη φυλὴ, ἄλλη ταλασιουργικῶν ὀργάνων· ἄλλη σιτοποιικῶν, ἄλλη ὀψοποιικῶν, ἄλλη τῶν ἀμφὶ λουτρὸν, ἄλλη ἀμφὶ μάκτρας· ἄλλη ἀμφὶ τραπέζας, καὶ ταῦτα (6) πάλιν διεχωρίσαμεν, οἷς τε ἀεὶ δεῖ χρῆσθαι, καὶ τὰ θοινητικά. Χωρὶς δὲ καὶ τὰ κατὰ μῆνα δαπανώμενα ἀφείλομεν, δίχα (7) δὲ καὶ τὰ εἰς ἐνιαυτὸν ἀπολελογισμένα κατέθεμεν· οὕτω γὰρ ἧττον λανθάνει (8) ὅπως πρὸς τὸ τέλος ἐκβήσεται. Ἐπεὶ δὲ ἐχωρίσαμεν πάντα κατὰ φυλὰς τὰ ἔπιπλα, εἰς τὰς χώρας τὰς προσηκούσας ἕκαστα διηνέγκαμεν (9). Μετὰ δὲ τοῦτο ὅσοις μὲν τῶν σκευῶν καθ' ἡμέραν χρῶνται οἱ οἰκέται, οἷον σιτοποιικοῖς, ὀψοποιικοῖς, ταλασιουργικοῖς, καὶ εἴ τι ἄλλο τοιοῦτον, ταῦτα μὲν αὐτοῖς τοῖς χρωμένοις δείξαντες ὅπου δεῖ τιθέναι, παρεδώκαμεν καὶ ἐπετάξαμεν σᾶ (10) παρέχειν· ὅσοις δ' εἰς ἑορτὰς ἢ ξενοδοχίας χρώμεθα ἢ εἰς τὰς διὰ χρόνου (11) πράξεις, ταῦτα δὲ (12) τῇ ταμίᾳ παρεδώκαμεν, καὶ δείξαντες τὰς χώρας

---

4. *Λαμάχου τοῦ Σμυρναίου.* Ce personnage, que Plutarque, la phrase, qualifie de sophiste, est inconnu d'ailleurs.

5. *Ἱστορία* signifie ici quelque chose comme *informations d tail historique; ἀπόδειξις*, exposé raisonné des faits.

6. *Δείσαντα* construit avec le datif comme s'il y avait, à *πληχθέντα*, dont il prend ici le sens: *effrayé.*

7. *Ὁ ἀνήρ*, Démosthène.

8. *Τὰ μὲν ἄλλα καλά*, les grandes qualités de Périclès, c d'autres points de vue qu'en tant qu'orateur.

9. *Πλάσμα*, l'ensemble des diverses inflexions de voix On peut rendre à peu près *τὸ πλάσμα καὶ τὸν σχηματισμ* et le *geste* de Périclès.

10. *Ταχέως λέγειν*, s'empresser de prendre la parole.

11. *Ἐκ τοῦ παρισταμένου λέγειν* (comme *ἐπὶ καιροῦ* o notes 7 et 19 du chap. VIII; ou encore comme *ἐκ τοῦ πα improviser.*

12. *Προσίεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν*, vouloir de la g

13. *Οὐδέ* se joint à *πολλάκις.*

14. *Ἑκὼν εἶναι, du moins de son plein gré:* hellénisme

15. *Ποιεῖσθαι ἐπί τινι*, mettre à la merci de quelqu'un

16. *Ἐπεί . . . γε.* Voici comment s'enchaînent les pre ce chapitre: *Πόθεν οὖν* . . . Comment se fait-il qu'Esch thène qu'il est étonnant d'audace pour parler, etc.? *Il l'était réellement.* — Parenthèse: *Ἀλλ' ἔοικεν* . . . . de Périclès, il se réservait, etc., dans la mesure du mo dait de lui. — *Ἐπεὶ τόλμαν γε* . . . *Car,* pour ce qu véhéments, ses discours, tels qu'il les prononça, l'étai ne le sont sous leur forme écrite.

17. *Ἐρατοσθένει.* Ératosthène, fils d'Aglaos, né à Cy 276 av. J. C., fut bibliothécaire du Musée d'Alexandri nome et mathématicien, chronographe, auteur d'ouv littéraire (comme celui qu'il avait consacré à la *coméd*

[illegible]

... de remarquables publications dans toutes les branches de ... de son temps. Il mourut, dit-on, en l'an 100 ou 104 ... de lui que des fragments.

... Demetrius, fils de Phanostrate, de Phalère ... entre 348 et 340 avant J. C.; dirigea la république athé... sa constitution était alors devenue oligarchique, de 317 à ... du peuple, qui lui éleva 360 statues; renversé par ... il se réfugia en Égypte à la cour de Ptolémée Lagi, ... de la Bibliothèque d'Alexandrie. Il fut le der... d'Athènes; brilla dans tous les genres de ... poésie, histoire littéraire, rhétorique, ... etc. Il ne nous reste que quelques ... de ce fécond écrivain. Il mourut ...

[illegible]

λαγεὶς γὰρ αὐτῶν τάχιστα κατέβαινεν εἰς τὸ μελετη
διεξῄει (2) τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτ
γισμούς (3). Ἔτι δὲ τοὺς λόγους, οἷς παρέτυχε λεγομε
λαμβάνων πρὸς ἑαυτὸν (4) εἰς γνώμας ἀνῆγε καὶ περ
ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινου
εἰρημένων ὑφ' ἑτέρου πρὸς ἑαυτὸν ἢ ὑφ' ἑαυτοῦ πάλιν π
Ἐκ δὲ τούτο δόξαν ἔσχεν ὡς οὐκ εὐφυὴς ὤν, ἀλλ'
συγκειμένῃ (6) δεινότητι καὶ δυνάμει χρώμενος. Ἐδόκει δ
σημεῖον εἶναι καὶ μέγα τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημ
ἐπὶ καιροῦ λέγοντος (7), ἀλλὰ καθήμενον ἐν ἐκκλησίᾳ πολ
δήμου καλοῦντος ὀνομαστὶ μὴ παρελθεῖν (8), εἰ μὴ τύχοι
τικῶς καὶ παρεσκευασμένος. Εἰς τοῦτο δ' ἄλλοι τε πολ
δημαγωγῶν ἐχλεύαζον αὐτὸν καὶ Πυθέας (9) ἐπισκώπτων
νίων (10) ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. Τοῦτον
ἠμείψατο πικρῶς ὁ Δημοσθένης· « Οὐ ταὐτὰ γὰρ (11)
« ἐμοὶ καὶ σοὶ ὁ λύχνος, ὦ Πυθέα, σύνοιδεν. » Πρὸς δὲ
λους οὐ παντάπασιν ἦν ἔξαρνος, ἀλλ' οὔτε γράψαι οὔτ'
κομιδῇ λέγειν ὡμολόγει. Καὶ μέντοι δημοτικὸν ἀπέφαινε
τὸν λέγειν μελετῶντα (12)· θεραπείας γὰρ εἶναι τοῦτο δη
ρασκευὴν (13), τὸ δ' ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον
τιστεῖν (14) ὀλιγαρχικοῦ καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχο

---

2. *Διεξῄει*, raconter d'un bout à l'autre.
3. *Ἀπολογισμούς*, *raison* dans le sens de *rendre raison* d'une
expliquer les motifs). *Ὑπέρ*, au sujet de.
4. *Πρὸς ἑαυτόν*, à part soi, en son particulier.
5. *Εἰς γνώμας κτλ.* Amyot: « et se prenoit à les coucher en bel
(*περιόδους*), et en belles sentences » (*γνώμας*).
6. *Κεῖμαι* sert de parfait passif à *τίθημι*. D'où *συγκειμένῃ*, co
7. *Ἐπὶ καιροῦ λέγοντος*, *ex tempore dicere.*
8. *Παρελθεῖν* est l'expression consacrée pour dire *monter à la*
9. *Πυθέας.* Pythéas, fils d'un meunier, de patrie inconnue, f
lisé citoyen athénien et joua un rôle important dans la polit
nienne au temps de Démosthène. Il était loin d'être un orat
mais plaisait au peuple par ses traits d'esprit. Il soutint tou
la politique macédonienne. Lorsqu'éclata la guerre Lamia
d'Athènes, il se réfugia auprès d'Antipater, le roi de Macédoi
devint un des plus actifs émissaires (voy. au chap. XXVII). L
anciens lisaient au moins trois ou quatre discours de lui, qui n
venus jusqu'à nous.
10. *Ἐλλυχνίων*, mèches de lampe.
11. *Γάρ.* « *Aussi* y a il grande différence, etc. » (Amyot.)
12. *Ἀπέφαινεν . . . . μελετῶντα.* Il disait (*ἀπέφαινεν*) que
s'exerce à parler est un « homme populaire ».
13. *Θεραπείας κτλ.* Le sens est *τοῦτο* (c'est-à-dire *τὸ μελετᾶν*
τορός ἐστι παρασκευαζομένου ὅπως θεραπεύσει τὸν δῆμον.
14. *Τὸ δ' ὅπως . . . ἀφροντιστεῖν*, « quand on ne se soucie
ment ni en quelle part le peuple doive prendre ses paroles. »
15. *Προσέχοντος* (sous-entendu *τὸν νοῦν*), s'attachant à.

Τῆς δὲ πρὸς καιρὸν ἀτολμίας[16] αὐτοῦ ση-
μεῖον, ὅτι Δημάδης[17] μὲν ἐκείνῳ θορυβηθέν-
τας ἐκ προχείρου[19] συνεῖπεν, ἐκεῖνος δ' …

CHAPITRE IX.

Πόθεν οὖν, φαίη τις ἄν, ὁ Αἰσχίνης … λό-
γοις τόλμαν θαυμασιώτατον …
Πύθωνι τῷ Βυζαντίῳ θρασυνομένῳ …
Ἀθηναίων ἀναστὰς μόνος ἀντεῖπε …

---

16. Τῆς πρὸς καιρὸν ἀτολμίας. Entendez … ἐπὶ καιροῦ (voy. note 7 du chap. VIII …
17. Δημάδης. Sur Démade, voy. …
18. Θορυβηθέντι, interrompu par les clameurs …
19. Ἐκ προχείρου, même sens que … chap.), ἐκ παρεσκευασμένου et autres expressions … du chap. IX.)

Ch. IX.] 1. Ὁ Αἰσχίνης. Eschine, … cides (Athènes); naquit en 390 av. J. C. … misère; fut, dans sa jeunesse, scribe … des affaires publiques d'Athènes vers 34… politique macédonienne, et fut l'adversaire … thène jusqu'à ce que, vaincu par lui, en 33… la *Couronne*, il quittât Athènes pour aller … XXIV). Eschine est l'un des dix grands orateurs … discours qu'il paraisse avoir publiés se sont … 1° *Contre Timarque*, 2° Réplique au discours … *varications de l'Ambassade*, 3° Contre Ctésiphon …

2. Πρὸς τὴν . . . . ἀποκαλεῖ. Voici les ex… § 152): Ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖ… πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυ…

3. Πῶς δὲ . . . . ἀντεῖπεν. Plutarque se … de Démosthène dans son plaidoyer sur la Cou… θωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον καὶ πα… των συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποι… χοῦσαν, τότ' ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομ… ὑμῶν οὐχ ὑπεχώρησα, ἀλλ' ἀναστὰς ἀντεῖπον … προὔδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξ… του συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογ… élève d'Isocrate, était au service du roi … plusieurs missions délicates. En 343 av. J. … nes à la tête d'une ambassade envoyée par … il insinua que les orateurs qui attaquaient … parce que le roi avait dédaigné d'acheter leur … Philippe était animé des meilleures intentions … de son dire, il apportait au peuple d'insidi… ce qu'il semble, dans cette circonstance que … tée par Démosthène et à laquelle Plutarque … Horace (*Satires*, I, VII, 28): *salso multoque* … qui injurie Rupilius Rex.)

πλεῖστον εἰς τοὺς λόγους ὠφελῆσθαι(17). *Κτησιβίου*(18) *δὲ μέμνηται λέγοντος παρὰ Καλλίου τοῦ Συρακουσίου*(19) *καί τινων ἄλλων καὶ τὰς Ἰσοκράτους τέχνας* (20) *καὶ τὰς Ἀλκιδάμαντος* (21) *κρύφα λαβόντα τὸν Δημοσθένην καταμαθεῖν.*

CHAPITRE VI.

Ὡς δ' οὖν ἐν ἡλικίᾳ γενόμενος(1) *τοῖς ἐπιτρόποις ἤρξατο δικάζεσθαι καὶ λογογραφεῖν ἐπ' αὐτοὺς πολλὰς διαδύσεις καὶ παλιν δικίας* (2) *εὑρίσκοντας, ἐγγυμνασάμενος, κατὰ τὸν Θουκυ-*

Athènes l'école de l'Académie, où il enseigna pendant de longues années une philosophie nouvelle et originale. Il mourut à l'âge de 81 ans.

17. *Ὠφελῆσθαι*: sous-entendez *ἀπὸ τοῦ συνεσχολακέναι τῷ Πλάτωνι.*

18. *Κτησιβίου.* Ce Ctesibius était originaire de Chalcis, et fut disciple du philosophe Ménédème, qui florissait vers 280 av. J. C. On sait d'ailleurs que les renseignements ici rapportés par Plutarque se lisaient dans son ouvrage *Περὶ φιλοσοφίας.* L'historien Ctesibius, qui, au rapport de Lucien, aurait atteint l'âge de 124 ans, semble avoir vécu au même siècle que son homonyme le philosophe, et peut-être bien ces deux personnages n'en font-ils qu'un.

19. *Καλλίου τοῦ Συρακουσίου.* On ne sait pas qui est ce Callias de Syracuse. Il faut se garder de le confondre avec son homonyme et compatriote l'historien d'Agathocle, bien plus jeune que Démosthène puisqu'il fit le récit des événements de 289 av. J. C. et même de quelques années encore après cette date.

20. *Τέχνας*, traités *de rhétorique.*

21. *Ἀλκιδάμαντος.* Alcidamas, d'Élée (en Éolide), contemporain d'Isocrate, élève du célèbre sophiste Gorgias. De ses ouvrages, qui appartenaient, en général, comme ceux d'Isocrate son rival, au genre démonstratif, il ne nous reste qu'une dissertation *Περὶ τῶν τοὺς γραπτοὺς λόγους γραφόντων ἢ περὶ σοφιστῶν.*

Ch. VI]. 1. *Ἐν ἡλικίᾳ γενόμενος*, après être entré dans sa dix-huitième année. Les jeunes Athéniens entraient dans le «collège des éphèbes» l'année qui suivait celle où ils avaient eu quinze ans révolus; et, au bout de deux ans d'éphébie, passaient dans la classe des hommes faits, devenaient majeurs.

2. *Διαδύσεις καὶ παλινδικίας.* Démosthène avait gagné son procès contre son tuteur Aphobus. (C'est dans cette occasion qu'il prononça les plaidoyers I et II *contre Aphobus.*) Celui-ci intente alors une action contre le témoin Phanus, produit par Démosthène dans le procès, et qu'il accuse de faux témoignage: s'il parvient à établir que le premier jugement a été déterminé par un faux témoignage, il aura un recours en dommages-intérêts contre Démosthène, et le succès précédemment obtenu par l'adversaire deviendra illusoire. Voilà une *παλινδικία.* Démosthène défendit Phanus (troisième discours *contre Aphobus*), et cette fois encore gagna sa cause. La condamnation qu'il a obtenue contre son tuteur monte à 10 talents; mais il reste à l'exécuter. Or Aphobus a pris ses précautions et dissimule une grande partie de ses biens. Ainsi, au moment où Démosthène veut prendre possession d'une terre appartenant à Aphobus, il est

δίδην (3), *ταῖς μελέταις οὐκ ἀκινδύνως οὐδ' ἀργῶς, κατευτυχήσας ἐκπρᾶξαι μὲν οὐδὲ πολλοστὸν ἠδυνήθη μέρος τῶν πατρῴων, τόλμαν δὲ πρὸς τὸ λέγειν καὶ συνήθειαν ἱκανὴν λαβὼν καὶ γευσάμενος τῆς περὶ τοὺς ἀγῶνας* (4) *φιλοτιμίας καὶ δυνάμεως, ἐνεχείρησεν εἰς μέσον παριέναι καὶ τὰ κοινὰ πράττειν* (5). *Καὶ καθάπερ Λαομέδοντα τὸν Ὀρχομένιον* (6) *λέγουσι καχεξίαν τινὰ σπληνὸς ἀμυνόμενον δρόμοις μακροῖς χρῆσθαι τῶν ἰατρῶν κελευσάντων, εἶθ' οὕτως διαπονήσαντα τὴν ἕξιν ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσι* (7) *καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων* (8), *οὕτως τῷ Δημοσθένει συνέβη τὸ πρῶτον ἐπανορθώσεως ἕνεκα τῶν ἰδίων* (9) *ἀποδύντι* (10) *πρὸς τὸ λέγειν, ἐκ τούτου* (11), *κτησαμένῳ δεινότητα καὶ δύναμιν, ἐν τοῖς πολιτικοῖς ἤδη καθάπερ στεφανίταις ἀγῶσι πρωτεύειν τῶν ἀπὸ τοῦ βήματος ἀγωνιζομένων πολιτῶν.*

Καίτοι τό γε πρῶτον ἐντυγχάνων τῷ δήμῳ θορύβοις περιέπιπτε καὶ κατεγελᾶτο δι' ἀήθειαν τοῦ λόγου συγκεχύσθαι ταῖς περιόδοις καὶ βεβασανίσθαι τοῖς ἐνθυμήμασιν ἄγαν πικρῶς καὶ κατακόρως (12) *δοκοῦντος. Ἦν δέ τις, ὡς ἔοικε* (13), *καὶ φωνῆς*

---

expulsé par Onetor, beau-frère d'Aphobus, qui se prétend créancier hypothécaire inscrit sur l'immeuble, du chef de sa sœur. Voilà un *échappatoire*, *διάδυσις*. Nouveau procès dans lequel Démosthène prononce les deux plaidoyers *contre Onetor*.

3. *Κατὰ τὸν Θουκυδίδην*. Voici la phrase de Thucydide (livre Ier, chap. XVIII) à laquelle Plutarque fait allusion: *Ἐμπειρότεροι ἐγένοντο, μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι.*

4. *Ἀγῶνας*. *Ἀγών* perd souvent son sens primitif, et devient le mot propre pour dire *procès*.

5. *Τὰ κοινὰ πράττειν*, *res publicas tractare*.

6. *Λαομέδοντα τὸν Ὀρχομένιον*. On ignore qui est ce Laomédon, et l'ethnique *Ὀρχομένιον* laisse indécise la question de savoir s'il était béotien ou arcadien de naissance.

7. *Στεφανίταις ἀγῶσι*. Jeux dont le prix est une couronne, les grands jeux de la Grèce. Se disait par opposition à *ἀργυρῖται, δωρῖται, χρηματῖται ἀγῶνες*, ceux dont le prix était une somme d'argent ou un objet d'une valeur réelle.

8. *Δολιχοδρόμων*, ceux qui courent le *δόλιχος* ou la *longue course*. Elle consistait à faire le stade sept fois, selon certains auteurs, mais, plus probablement, vingt-quatre fois sans s'arrêter; dans ce dernier système, le coureur va tourner douze fois autour du but, revenant chaque fois au point de départ, et le *δόλιχος* équivaudrait à douze *δίαυλοι* ou courses doubles.

9. *Τῶν ἰδίων* dépend de *ἐπανορθώσεως*.

10. *Ἀποδύντι*. Métaphore tirée des jeux gymniques, et amenée par la comparaison qui précède. On sait que les lutteurs quittaient leurs vêtements pour la course comme pour les autres jeux.

11. *Ἐκ τούτου*, ensuite.

12. *Ἄγαν πικρῶς καὶ κατακόρως*, « qu'il en estoit fascheux et ennuyeux à ouir. »

13. *Ὡς ἔοικε*, à ce qu'il paraît (dans le sens de: à ce qu'on dit).

ἀσθένεια καὶ γλώττης ἀσάφεια καὶ πνεύματος κολοβότης ἐπιταράττουσα τὸν νοῦν τῶν λεγομένων τῷ διεσπάσθαι τὰς περιόδους. Τέλος δ' ἀποστάντα τοῦ δήμου καὶ ῥεμβόμενον ἐν Πειραιεῖ δι' ἀθυμίαν Εὔνομος ὁ Θριάσιος(14), *ἤδη πάνυ γέρων, θεασάμενος ἐπετίμησεν, ὅτι τὸν λόγον ἔχων ὁμοιότατον τῷ Περικλέους*(15) *προδίδωσιν ὑπ' ἀτολμίας καὶ μαλακίας ἑαυτὸν, οὔτε τοὺς ὄχλο[υς] ὑφιστάμενος εὐθαρσῶς, οὔτε τὸ σῶμα πρὸς τοὺς ἀγῶνας*(16) *ἐξα[ρ]τυόμενος, ἀλλὰ τρυφῇ περιορῶν μαραινόμενον.*

CHAPITRE VII.

Πάλιν δέ φασιν, ἐκπεσόντος*(1) *αὐτοῦ καὶ ἀπιόντος οἴκαδε σ[υγ]κεχυμένου καὶ βαρέως φέροντος, ἐπακολουθῆσαι*(2) *Σάτυρ[ον]*(3) *τὸν ὑποκριτὴν ἐπιτήδειον ὄντα καὶ συνεισελθεῖν*(4). *Ὀδυρομ[ένου] δὲ τοῦ Δημοσθένους πρὸς αὐτὸν ὅτι, πάντων φιλοπονώτατο[ς ὢν] τῶν λεγόντων καὶ μικροῦ δέων καταναλωκέναι τὴν τοῦ σώ[ματος] ἀκμὴν εἰς τοῦτο, χάριν οὐκ ἔχει πρὸς τὸν δῆμον, ἀλλὰ κρ[αιπα]λῶντες ἄνθρωποι ναῦται καὶ ἀμαθεῖς ἀκούονται καὶ κατ[έχουσι] τὸ βῆμα*(5), *παρορᾶται δ' αὐτὸς, «Ἀληθῆ λέγεις, ὦ Δημόσθ[ενες]

14. *Εὔνομος ὁ Θριάσιος.* Eunomus, du dème de Thria (Athèn[es]), des premiers élèves qui s'attachèrent à Isocrate; il paraît avoir [été l'élève] de l'orateur Lysias.

15. *Περικλέους.* Périclès, fils de Xanthippe (l'un des généraux [qui rem]portèrent la victoire de Mycale sur les Perses), du dème de C[holarge], le plus grand homme de l'histoire d'Athènes; naquit dans les [premières] années du vᵉ siècle, probablement vers 493, commença à s'occu[per des af]faires publiques en 465, dirigea sans rival les affaires de la [république] athénienne depuis 444 av. J. C. jusqu'à sa mort. Il mourut d[e la peste] en l'automne de 429, pendant la troisième année de la guerr[e du Pélo]ponnèse. Périclès n'a pas écrit. Quelques anciens qui l'avaient e[nten]dis haranguer le peuple, rappelaient encore avec admiration, [au temps] de la jeunesse de Démosthène, la puissance étonnante de sa p[arole].

16. *Ἀγῶνας.* Voy. note 4 du chap. VI.

Ch. VII.] 1. *Ἐκπεσόντος.* Les Grecs disaient d'un orateur, [aussi bien] que d'un acteur, qu'il *tombait* quand il n'obtenait pas de succ[ès].

2. *Ἐπακολουθῆσαι,* sous-entendu *αὐτῷ.*

3. *Σάτυρον.* Probablement Satyrus d'Olynthe, le célèbre act[eur]. Suivant une autre version de l'anecdote que raconte ici Plu[tarque, ce se]rait le tragédien Andronicus, acteur, lui aussi, de grande r[éputation, qui] aurait rendu ce service à Démosthène.

4. *Συνεισελθεῖν,* sous-entendu *εἰς τὴν οἰκίαν.*

5. *Ἀλλὰ . . . . τὸ βῆμα.* Il paraît bien que Démosthèn[e pensait, en] disant ces mots, à Démade, à qui ils s'appliquent parfaite[ment. Démade,] du dème de Laciades (Athènes), avait commencé par être [matelot; il fut] l'un des orateurs les plus éloquents d'Athènes au quatriè[me siècle. Voy.] ce que Plutarque dit de lui aux chap. x (avec la n. 1 d[u chap. x]), XXIII, XXVIII et XXXI. Il ne semble pas avoir jamais rien p[ublié].

ne,
ατε,

ièmes
ρ Πύ-
ν πάν-
ων ἀδι-
ντι καθ'
ίζαι' οὐχὶ
ε τοὺς ἐκεί-
Byzance, un
l'employa à
vint à Athè-
son discours,
faisaient que
il assurait que
nes, et à l'appui
ions. Ce fut, à
r la scène racon-
allusion. — Cf.
arlant de Persius

λαγεὶς γὰρ αὐτῶν τάχιστα κατέβαινεν εἰς τὸ μελετητήριον, καὶ διεξῄει (2) τάς τε πράξεις ἐφεξῆς καὶ τοὺς ὑπὲρ αὐτῶν ἀπολογισμούς (3). Ἔτι δὲ τοὺς λόγους, οἷς παρέτυχε λεγομένοις, ἀναλαμβάνων πρὸς ἑαυτὸν (4) εἰς γνώμας ἀνῆγε καὶ περιόδους (5), ἐπανορθώσεις τε παντοδαπὰς καὶ μεταφράσεις ἐκαινοτόμει τῶν εἰρημένων ὑφ' ἑτέρου πρὸς ἑαυτὸν ἢ ὑφ' ἑαυτοῦ πάλιν πρὸς ἄλλον.

Ἐκ δὲ τούτο δόξαν ἔσχεν ὡς οὐκ εὐφυὴς ὤν, ἀλλ' ἐκ πόνου συγκειμένῃ (6) δεινότητι καὶ δυνάμει χρώμενος. Ἐδόκει δὲ τούτου σημεῖον εἶναι καὶ μέγα τὸ μὴ ῥᾳδίως ἀκοῦσαί τινα Δημοσθένους ἐπὶ καιροῦ λέγοντος (7), ἀλλὰ καθήμενον ἐν ἐκκλησίᾳ πολλάκις τοῦ δήμου καλοῦντος ὀνομαστὶ μὴ παρελθεῖν (8), εἰ μὴ τύχοι πεφροντικὼς καὶ παρεσκευασμένος. Εἰς τοῦτο δ' ἄλλοι τε πολλοὶ τῶν δημαγωγῶν ἐχλεύαζον αὐτὸν καὶ Πυθέας (9) ἐπισκώπτων ἐλλυχνίων (10) ἔφησεν ὄζειν αὐτοῦ τὰ ἐνθυμήματα. Τοῦτον μὲν οὖν ἠμείψατο πικρῶς ὁ Δημοσθένης· « Οὐ ταὐτὰ γὰρ (11) » εἶπεν « ἐμοὶ καὶ σοὶ ὁ λύχνος, ὦ Πυθέα, σύνοιδεν. » Πρὸς δὲ τοὺς ἄλλους οὐ παντάπασιν ἦν ἔξαρνος, ἀλλ' οὔτε γράψαι οὔτ' ἄγραφα κομιδῇ λέγειν ὡμολόγει. Καὶ μέντοι δημοτικὸν ἀπέφαινεν ἄνδρα τὸν λέγειν μελετῶντα (12)· θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευὴν (13), τὸ δ' ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον ἀφροντιστεῖν (14) ὀλιγαρχικοῦ καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος (15).

---

2. *Διεξῄει*, raconter d'un bout à l'autre.
3. *Ἀπολογισμούς*, *raison* dans le sens de *rendre raison* d'une chose (en expliquer les motifs). *Ὑπέρ*, au sujet de.
4. *Πρὸς ἑαυτόν*, à part soi, en son particulier.
5. *Εἰς γνώμας κτλ.* Amyot: « et se prenoit à les coucher en belles clauses (*περιόδους*), et en belles sentences » (*γνώμας*).
6. *Κεῖμαι* sert de parfait passif à *τίθημι*. D'où *συγκειμένῃ*, *composita*.
7. *Ἐπὶ καιροῦ λέγοντος*, *ex tempore dicere*.
8. *Παρελθεῖν* est l'expression consacrée pour dire *monter à la tribune*.
9. *Πυθέας*. Pythéas, fils d'un meunier, de patrie inconnue, fut naturalisé citoyen athénien et joua un rôle important dans la politique athénienne au temps de Démosthène. Il était loin d'être un orateur parfait, mais plaisait au peuple par ses traits d'esprit. Il soutint tout le temps la politique macédonienne. Lorsqu'éclata la guerre Lamiaque, banni d'Athènes, il se réfugia auprès d'Antipater, le roi de Macédoine, dont il devint un des plus actifs émissaires (voy. au chap. XXVII). Les auteurs anciens lisaient au moins trois ou quatre discours de lui, qui ne sont pas venus jusqu'à nous.
10. *Ἐλλυχνίων*, mèches de lampe.
11. *Γάρ*. « *Aussi* y a il grande différence, etc. » (Amyot.)
12. *Ἀπέφαινεν . . . . μελετῶντα.* Il disait (*ἀπέφαινεν*) que celui qui s'exerce à parler est un « homme populaire ».
13. *Θεραπείας κτλ.* Le sens est *τοῦτο* (c'est-à-dire *τὸ μελετᾶν λέγειν*) *ἔργον ἐστὶ παρασκευαζομένου ὅπως θεραπεύσει τὸν δῆμον*.
14. *Τὸ δ' ὅπως . . . ἀφροντιστεῖν*, « quand on ne se soucie point comment ni en quelle part le peuple doive prendre ses paroles. » (Amyot.)
15. *Προσέχοντος* (sous-entendu *τὸν νοῦν*), s'attachant à.

Τῆς δὲ πρὸς καιρὸν ἀτολμίας(16) *αὐτοῦ καὶ τοῦτο ποιοῦνται σημεῖον, ὅτι Δημάδης*(17) *μὲν ἐκείνῳ θορυβηθέντι*(18) *πολλάκις ἀναστὰς ἐκ προχείρου*(19) *συνεῖπεν, ἐκεῖνος δ' οὐδέποτε Δημάδῃ.*

CHAPITRE IX.

Πόθεν οὖν, φαίη τις ἄν, ὁ Αἰσχίνης(1) *πρὸς τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατον ἀποκαλεῖ*(2) *τὸν ἄνδρα; πῶς δὲ καὶ Πύθωνι τῷ Βυζαντίῳ θρασυνομένῳ καὶ ῥέοντι πολλῷ κατὰ τῶν Ἀθηναίων ἀναστὰς μόνος ἀντεῖπεν*(3); *ἢ Λαμάχου τοῦ Σμυρ-*

---

16. *Τῆς πρὸς καιρὸν ἀτολμίας.* Entendez comme s'il y avait *τῆς πρὸς τὸ ἐπὶ καιροῦ* (voy. note 7 du chap. VIII) *λέγειν ἀτολμίας.*

17. *Δημάδης.* Sur Démade, voy. note 5 du chap. VII.

18. *Θορυβηθέντι*, interrompu par les clameurs et le tapage de l'assemblée.

19. *Ἐκ προχείρου*, même sens que *ἐπὶ καιροῦ* (voyez note 7 du présent chap.), *ἐκ παρισταμένου* et autres expressions du même genre (voy. note 11 du chap. IX.)

Ch. IX.] 1. *Ὁ Αἰσχίνης.* Eschine, fils d'Atromète, du dème de Cothocides (Athènes); naquit en 390 av. J. C., dans une situation voisine de la misère; fut, dans sa jeunesse, scribe, puis acteur; commença à s'occuper des affaires publiques d'Athènes vers 348 av. J. C., se rallia bientôt à la politique macédonienne, et fut l'adversaire constant et le rival de Démosthène jusqu'à ce que, vaincu par lui, en 330, dans le célèbre procès de la *Couronne*, il quittât Athènes pour aller mourir en exil (voy. le chap. XXIV). Eschine est l'un des dix grands orateurs attiques. Les trois seuls discours qu'il paraisse avoir publiés se sont conservés jusqu'à nous, savoir: 1° *Contre Timarque*, 2° Réplique au discours de Démosthène sur *les Prévarications de l'Ambassade*, 3° Contre Ctésiphon (*sur la Couronne*).

2. *Πρὸς τὴν . . . . ἀποκαλεῖ.* Voici les expressions d'Eschine (*Couronne*, § 152): *Ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα πάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε!*

3. *Πῶς δὲ . . . . ἀντεῖπεν.* Plutarque se souvient ici des paroles mêmes de Démosthène dans son plaidoyer *sur la Couronne* (§ 136): *Ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον καὶ παρὰ τῶν αὐτοῦ συμμάχων πάντων συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν καὶ δείξων ἀδικοῦσαν, τότ' ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ καὶ πολλῷ ῥέοντι καθ' ὑμῶν οὐχ ὑπεχώρησα, ἀλλ' ἀναστὰς ἀντεῖπον καὶ τὰ τῆς πόλεως δίκαι' οὐχὶ προύδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς οὕτως, ὥστε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν.* — Python de Byzance, un élève d'Isocrate, était au service du roi de Macédoine, qui l'employa à plusieurs missions délicates. En 343 av. J. C., notamment, il vint à Athènes à la tête d'une ambassade envoyée par Philippe; dans son discours, il insinua que les orateurs qui attaquaient son maître ne le faisaient que parce que le roi avait dédaigné d'acheter leur concours; il assurait que Philippe était animé des meilleures intentions envers Athènes, et à l'appui de son dire, il apportait au peuple d'insidieuses propositions. Ce fut, à ce qu'il semble, dans cette circonstance que dut se passer la scène racontée par Démosthène et à laquelle Plutarque fait ici allusion. — Cf. Horace (*Satires*, I, VII, 28): *salso multoque fluenti*, (en parlant de Persius qui injurie Rupilius Rex.)

ναίου(4) γεγραφότος ἐγκώμιον Ἀλεξάνδρου καὶ Φιλίππου τῶν βασιλέων, ἐν ᾧ πολλὰ Θηβαίους καὶ Ὀλυνθίους εἰρήκει κακῶς, καὶ τοῦτ' ἀναγινώσκοντος Ὀλυμπίασι παραναστὰς καὶ διεξελθὼν μεθ' ἱστορίας καὶ ἀποδείξεως(5), ὅσα Θηβαίοις καὶ Χαλκιδεῦσιν ὑπάρχει καλὰ πρὸς τὴν Ἑλλάδα, καὶ πάλιν ὅσων αἴτιοι γεγόνασι κακῶν οἱ κολακεύοντες Μακεδόνας, οὕτως ἐπέστρεψε τοὺς παρόντας ὥστε δείσαντα τῷ θορύβῳ(6) τὸν σοφιστὴν ὑπεκδῦναι τῆς πανηγύρεως; — Ἀλλ' ἔοικεν ὁ ἀνὴρ(7) τοῦ Περικλέους τὰ μὲν ἄλλα καλὰ(8) μὴ πρὸς αὐτὸν ἡγήσασθαι, τὸ δὲ πλάσμα(9) καὶ τὸν σχηματισμὸν αὐτοῦ καὶ τὸ μὴ ταχέως(10) μηδὲ περὶ παντὸς ἐκ τοῦ παρισταμένου(11) λέγειν, ὥσπερ ἐκ τούτων μεγάλου γεγονότος, ζηλῶν καὶ μιμούμενος, οὐ πάνυ προσίεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν(12), οὐδ' ἐπὶ τῇ τύχῃ πολλάκις(13) ἑκὼν εἶναι(14) ποιεῖσθαι(15) τὴν δύναμιν. — Ἐπεὶ τόλμαν γε(16) καὶ θάρσος οἱ λεχθέντες ὑπ' αὐτοῦ λόγοι τῶν γραφέντων μᾶλλον εἶχον, εἴ τι δεῖ πιστεύειν Ἐρατοσθένει(17) καὶ Δημητρίῳ τῷ Φαληρεῖ(18) καὶ τοῖς

---

4. *Λαμάχου τοῦ Σμυρναίου*. Ce personnage, que Plutarque, à la fin de la phrase, qualifie de sophiste, est inconnu d'ailleurs.

5. *Ἱστορία* signifie ici quelque chose comme *informations détaillées, détail historique; ἀπόδειξις*, exposé raisonné des faits.

6. *Δείσαντα* construit avec le datif comme s'il y avait, à la place, *ἐκπληχθέντα*, dont il prend ici le sens: *effrayé*.

7. *Ὁ ἀνήρ*, Démosthène.

8. *Τὰ μὲν ἄλλα καλά*, les grandes qualités de Périclès, considéré sous d'autres points de vue qu'en tant qu'orateur.

9. *Πλάσμα*, l'ensemble des diverses inflexions de voix et intonations. On peut rendre à peu près *τὸ πλάσμα καὶ τὸν σχηματισμόν* par le *ton* et le *geste* de Périclès.

10. *Ταχέως λέγειν*, s'empresser de prendre la parole.

11. *Ἐκ τοῦ παρισταμένου λέγειν* (comme *ἐπὶ καιροῦ* ou *ἐκ προχείρου*, notes 7 et 19 du chap. VIII; ou encore comme *ἐκ τοῦ παραχρῆμα λέγειν*), *improviser*.

12. *Προσίεσθαι τὴν ἐν τῷ καιρῷ δόξαν*, vouloir de la gloire d'occasion.

13. *Οὐδέ* se joint à *πολλάκις*.

14. *Ἑκὼν εἶναι, du moins de son plein gré*: hellénisme connu.

15. *Ποιεῖσθαι ἐπί τινι*, mettre à la merci de quelqu'un.

16. *Ἐπεί . . . γε*. Voici comment s'enchaînent les premières phrases de ce chapitre: *Πόθεν οὖν* . . . Comment se fait-il qu'Eschine dit de Démosthène qu'il est étonnant d'audace pour parler, etc.? — Sous-entendu: *Il l'était réellement*. — Parenthèse: *Ἀλλ' ἔοικεν* . . . . Mais, à l'imitation de Périclès, il se réservait, etc., dans la mesure du moins où cela dépendait de lui. — *Ἐπεὶ τόλμαν γε* . . . Car, pour ce qui est de hardis et véhéments, ses discours, tels qu'il les prononça, l'étaient bien plus qu'ils ne le sont sous leur forme écrite.

17. *Ἐρατοσθένει*. Ératosthène, fils d'Aglaos, né à Cyrène (Afrique) vers 276 av. J. C., fut bibliothécaire du Musée d'Alexandrie: géographe, astronome et mathématicien, chronographe, auteur d'ouvrages sur l'histoire littéraire (comme celui qu'il avait consacré à la *comédie ancienne*), il s'était

κωμικοῖς. Ὧν Ἐρατοσθένης μέν φησιν αὐτὸν ἐν τοῖς λόγοις πολλαχοῦ γεγονέναι παράβακχον, ὁ δὲ Φαληρεὺς τὸν ἔμμετρον ἐκεῖνον ὅρκον ὀμόσαι ποτὲ πρὸς τὸν δῆμον ὥσπερ ἐνθουσιῶντα

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα (19).

τῶν δὲ κωμικῶν ὁ μέν τις (20) αὐτὸν ἀποκαλεῖ ῥωποπερπερήθραν (21), ὁ δὲ (22) παρασκώπτων ὡς χρώμενον τῷ ἀντιθέτῳ φησὶν οὕτως

Ἀπέλαβεν ὥσπερ ἔλαβεν. — (23) Ἠγάπησεν ἂν
τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης·

ἐκτὸς εἰ (24) μὴ νὴ Δία πρὸς τὸν ὑπὲρ Ἁλοννήσου λόγον (25) ὁ

---

illustré par de remarquables publications dans toutes les branches de la science étudiées de son temps. Il mourut, dit-on, en l'an 196 ou 194. On n'a plus de lui que des fragments.

18. *Δημητρίῳ τῷ Φαληρεῖ.* Demetrius, fils de Phanostrate, de Phalère (Attique), né entre 348 et 340 avant J. C.; dirigea la république athénienne, dont la constitution était alors devenue oligarchique, de 317 à 307; devint l'idole du peuple, qui lui éleva 360 statues: renversé par Demetrius Poliorcète, il se réfugia en Égypte à la cour de Ptolémée Lagi, et présida à la formation de la Bibliothèque d'Alexandrie. Il fut le dernier des orateurs célèbres d'Athènes; brilla dans tous les genres de composition littéraire, histoire, poésie, histoire littéraire, rhétorique, chronologie, science militaire, philosophie, etc. Il ne nous reste que quelques maigres fragments de l'œuvre de ce fécond écrivain. Il mourut postérieurement à 283 av. J. C. (Cf. chap. XI.)

19. *Μὰ γῆν . . . .*: vers iambique trimètre, de même que les deux autres qui vont être cités d'Antiphane.

20. *Ὁ μέν τις.* Timoclès, poète de la comédie moyenne.

21. *Ῥωποπερπερήθραν.* Composé de *ῥῶπος*, marchandise de colporteur, pacotille, et de *πέρπερος*, bavard, babillard, « grand causeur » (comme dit Amyot). Le vers de Timoclès auquel pense Plutarque est le suivant:

Ἀπῆλθ' ἔχων Δημοσθένους τὴν ῥωποπερπερήθραν,

qui est dirigé contre le philosophe Eubulide, l'un des maîtres de Démosthène; Démosthène n'y est point traité (*ἀποκαλεῖ*), comme dit Plutarque, de *ῥωποπερπερήθρα*, mais bien on s'y moque de sa *ῥωποπερπερήθρα*, comme qui dirait de son bagou, de sa faconde de charlatan ou de *commis voyageur.*

22. *Ὁ δέ.* Antiphane, l'un des plus célèbres poètes de la comédie *moyenne,* dans la comédie, aujourd'hui perdue, qui était intitulée *Νεοττίς.* Les deux vers que cite Plutarque sont précédés de celui-ci: *Ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρὸς . . .* Le sens est: « Mon maître a été *mis en possession* (légalement) de tous les biens de son père . . . dont il avait déjà *pris possession* (de fait). »

23. On indique ici par un tiret le changement d'interlocuteur.

24. *Ἐκτὸς εἰ.* Antiphane se moque de Démosthène *ὡς χρώμενον τῷ ἀντιθέτῳ, à moins que* (*ἐκτὸς εἰ*) la plaisanterie n'ait trait au discours, etc.

25. *Τὸν ὑπὲρ Ἁλοννήσου λόγον.* Le discours *sur l'Halonnèse,* qui occupe le numéro 7 dans les éditions des œuvres de Démosthène, n'est pas de Démosthène, comme le crurent Plutarque et d'autres anciens, mais d'Hégésippe. Hégésippe, surnommé *Κρωβύλος*, de Sunium (Attique), contemporain de Démosthène, appartenait comme lui au parti des *patriotes* ou parti hostile au roi de Macédoine. Plutarque, au chap. XVII, rapporte un mot de lui.

Ἀντιφάνης καὶ τουτὶ πέπαιχεν, ἣν Ἀθηναίοις Δημοσθένης συνεβούλευε μὴ λαμβάνειν, ἀλλ' ἀπολαμβάνειν παρὰ Φιλίππου(26), *περὶ συλλαβῶν διαλεγόμενος.*

CHAPITRE X.

Πλὴν τόν γε Δημάδην πάντες ὡμολόγουν τῇ φύσει χρώμενον(1) *ἀνίκητον εἶναι καὶ παραφέρειν αὐτοσχεδιάζοντα τὰς τοῦ Δημοσθένους σκέψεις καὶ παρασκευάς. Ἀρίστων δ' ὁ Χῖος*(2) *καὶ Θεοφράστου*(3) *τινὰ δόξαν ἱστόρηκε περὶ τῶν ῥητόρων. Ἐρωτηθέντα γάρ, ὁποῖός τις αὐτῷ φαίνεται ῥήτωρ ὁ Δημοσθένης, εἰπεῖν «Ἄξιος τῆς πόλεως·» ὁποῖος δέ τις ὁ Δημάδης, «Ὑπὲρ τὴν πόλιν.»*

Ὁ δ' αὐτὸς Θεόφραστος(4) *Πολύευκτον ἱστορεῖ τὸν Σφήττιον*(5),

---

26. *Μὴ λαμβάνειν .... παρὰ Φιλίππου.* Plutarque semble combiner ici de mémoire les deux passages suivants, dont il se souvient imparfaitement. 1° *Sur l'Halonnèse* (§ 5): *Δι' ἀμφοτέρων τῶν ὀνομάτων, ὁποτέρῳ ἂν χρῆσθε, ὑμεῖς ἕξετε τὴν νῆσον, ἄν τε λάβητε ἄντ' ἀπολάβητε.* 2° Eschine (*Couronne* § 83): *Ὁ δὲ ἀπηγόρευε μὴ λαμβάνειν εἰ δίδωσι ἀλλὰ μὴ ἀποδίδωσι, περὶ συλλαβῶν διαφερόμενος.*

Ch. X] 1. *Τῇ φύσει χρώμενον*, «usant de son naturel seulement». Sur Démade, voy. note 5 du chap. VII: Démade n'avait pas reçu d'instruction.

2. *Ἀρίστων ὁ Χῖος.* Ariston, de Chio (fils d'un certain Miltiade, surnommé *le Chauve* (*Φάλανθος*) et *la Sirène*), philosophe stoïcien indépendant, florissait vers 260 av. J. C.; fut le maître d'Ératosthène (voy. sur Ératosthène la note 17 du chap. IX). Les écrits d'Ariston de hio et ceux de son homonyme de Ceos, le philosophe péripatéticien, étaient confondus dans l'antiquité: ils sont tous perdus.

3. *Θεοφράστου.* Tyrtamos, fils de Melantès, d'Érèse (île de Lesbos), le disciple favori d'Aristote; reçut du maître le nom de THÉOPHRASTE, sous lequel il est passé à la postérité. Il était né en 372 av. J. C.; continua à Athènes, dans le Lycée, l'enseignement péripatéticien depuis 322, date de la mort d'Aristote, jusqu'à la fin de sa propre existence, c'est-à-dire jusqu'à 287. Aristote lui avait légué sa bibliothèque. Les écrits de Théophraste portèrent sur toutes les parties que comprenait, à son époque, le savoir humain: philosophie et histoire naturelle, politique, histoire du droit public et privé, mathématiques et rhétorique, etc. Beaucoup de renseignements historiques puisés aux ouvrages de Théophraste ont été rapportés par Plutarque dans la *Vie de Démosthène* et ailleurs. Outre deux traités entiers relatifs à la botanique et des fragments appartenant aux divers écrits perdus, il nous reste de Théophraste la petite collection des *Ἠθικοὶ χαρακτῆρες*, traduite par la Bruyère et qui a inspiré à notre compatriote son admirable livre des *Caractères*.

4. *Θεόφραστος.* Les éditions antérieures à celle-ci, au lieu de *Θεόφραστος*, portent *φιλόσοφος*, qui se rapportait forcément à Ariston.

5. *Πολύευκτον .... τὸν Σφήττιον.* Polyeucte, du dème de Sphette (Attique), l'un des orateurs les plus zélés du parti antimacédonien. Il reste à peine quelques courts fragments des discours qu'il avait publiés.

ἕνα τῶν τότε πολιτευομένων Ἀθήνησιν, ἀποφαίνεσθαι, μέγιστον μὲν εἶναι ῥήτορα τὸν Δημοσθένην, δυνατώτατον(6) *δὲ εἰπεῖν τὸν Φωκίωνα*(7)· *πλεῖστον γὰρ ἐν βραχυτάτῃ λέξει νοῦν ἐκφέρειν.*

Καὶ μέντοι καὶ τὸν Δημοσθένην φασὶν αὐτὸν, ὁσάκις ἀντερῶν αὐτῷ Φωκίων ἀναβαίνοι, λέγειν πρὸς τοὺς συνήθεις «*Ἡ τῶν ἐμῶν λόγων κοπὶς ἀνίσταται*(8). » *Τοῦτο μὲν οὖν ἄδηλον εἴτε πρὸς τὸν λόγον τοῦ ἀνδρὸς ὁ Δημοσθένης εἴτε πρὸς τὸν βίον καὶ τὴν δόξαν ἐπεπόνθει, πολλῶν πάνυ καὶ μακρῶν περιόδων ἓν ῥῆμα καὶ νεῦμα πίστιν ἔχοντος ἀνθρώπου κυριώτερον ἡγούμενος* (9).

CHAPITRE XI.

Τοῖς δὲ σωματικοῖς ἐλαττώμασι τοιαύτην ἐπήγαγεν ἄσκησιν, ὡς ὁ Φαληρεὺς Δημήτριος(1) *ἱστορεῖ, λέγων αὐτοῦ Δημοσθένους ἀκοῦσαι* (2) *πρεσβύτου γεγονότος· τὴν μὲν γὰρ ἀσάφειαν καὶ τραυλότητα*(3) *τῆς γλώττης ἐκβιάζεσθαι καὶ διαρθροῦν*(4) *εἰς τὸ στόμα*

---

6. *Δυνατώτατον.* Dans deux autres endroits où Plutarque rapporte le même jugement de Polyeucte sur Démosthène et sur Phocion, on lit *δεινότατον*, qui semble être plutôt le terme dont s'était servi Polyeucte.

7. *Τὸν Φωκίωνα.* Phocion, le meilleur général athénien du temps de Démosthène. Sa loyauté et ses qualités de toute nature l'avaient fait surnommer *ὁ χρηστός.* Il fit opposition toute sa vie à la politique antimacédonienne de Démosthène, qui ne pouvait, à son avis, qu'attirer des malheurs sur sa patrie, ce qui ne l'empêchait point de conduire les armées athéniennes contre Philippe. Dans l'une des révolutions qui agitèrent Athènes après la mort d'Alexandre, il fut condamné à mort par le peuple, et but la ciguë, âgé de 80 ans, le 10 mai 318. Plutarque a comparé la vie de Phocion avec celle de Caton le Jeune.

8. *Ἡ . . . . ἀνίσταται.* En transposant un mot, on obtient un vers iambique trimètre: *Ἡ τῶν ἐμῶν κοπὶς λόγων ἀνίσταται.* D'ailleurs, cette parole de Démosthène est rapportée en plusieurs autres endroits avec des variantes (comme *πάρεστι* au lieu de *ἀνίσταται*, chez Plutarque même, *Vie de Phocion*; ou *σφυρὰ καὶ κοπὶς ἔρχεται*, chez Stobée, à la place de *κοπὶς ἀνίσταται*).

9. *Πολλῶν . . . . ἡγούμενος.* Cf. Virgile, *Énéide*, I, 151: *Tum pietate gravem ac meritis si forte virum quem Conspexere, silent*, etc.

Ch. XI.] 1. *Ὁ Φαληρεὺς Δημήτριος.* Sur Demetrius de Phalère, voy. note 18 du chap. IX.

2. *Δημοσθένους ἀκοῦσαι*, qu'il l'avait entendu dire à Démosthène.

3. *Τραυλότητα.* La *τραυλότης* était un défaut de prononciation qui consistait, faute de pouvoir articuler le *ρ*, à lui donner une valeur approchant de celle du *λ*. Alcibiade aussi était *τραυλός*: lorsqu'il disait *κόραξ* (corbeau), on croyait entendre *κόλαξ* (flatteur). Cf. Cicéron, *De oratore*, I, 61, 260: «Cumque ita balbus esset (Demosthenes) ut ejus ipsius artis (*ῥητορικῆς*) cui studeret, primam litteram non posset dicere,» etc.

4. *Καὶ διαρθροῦν.* Chasser la mauvaise prononciation (*ἀσάφειαν*) *et l'articuler* c.-à-d. *et la remplacer par une prononciation bien articulée.*

ψήφους λαμβάνοντα καὶ ῥήσεις(5) ἅμα λέγοντα· τὴν δὲ φωνὴν γυμνάζειν ἐν τοῖς δρόμοις καὶ ταῖς πρὸς τὰ σίμ' ἀναβάσεσι διαλεγόμενον καὶ λόγους τινὰς ἢ στίχους ἅμα τῷ πνεύματι πυκνουμένῳ(6) προφερόμενον· εἶναι δ' αὐτῷ μέγα κάτοπτρον οἴκοι, καὶ πρὸς τοῦτο τὰς μελέτας ἱστάμενον ἐξ ἐναντίας περαίνειν.

Λέγεται δ' ἀνθρώπου προσελθόντος αὐτῷ δεομένου συνηγορίας καὶ διεξιόντος ὡς ὑπό του λάβοι πληγάς, «Ἀλλὰ σύ γε» φάναι τὸν Δημοσθένην «τούτων ὧν λέγεις οὐδὲν πέπονθας.» Ἐπιτείναντος δὲ τὴν φωνὴν τοῦ ἀνθρώπου καὶ βοῶντος «Ἐγώ, Δημόσθενες, οὐδὲν πέπονθα;» «Νὴ Δία» φάναι «νῦν ἀκούω φωνὴν ἀδικουμένου καὶ πεπονθότος.» Οὕτως ᾤετο μέγα πρὸς πίστιν εἶναι τὸν τόνον(7) καὶ τὴν ὑπόκρισιν(8) τῶν λεγόντων. Τοῖς μὲν οὖν πολλοῖς ὑποκρινόμενος ἤρεσκε θαυμαστῶς, οἱ δὲ χαρίεντες(9) ταπεινὸν ἡγοῦντο καὶ ἀγεννὲς αὐτοῦ τὸ πλάσμα(10) καὶ μαλακόν, ὧν καὶ Δημήτριος ὁ Φαληρεύς ἐστιν.

Αἰσίωνα(11) δέ φησιν Ἕρμιππος(12), ἐπερωτηθέντα περὶ τῶν πάλαι ῥητόρων καὶ τῶν καθ' ἑαυτόν, εἰπεῖν ὡς ἀκούων μὲν ἄν τις ἐθαύμασεν ἐκείνους εὐκόσμως καὶ μεγαλοπρεπῶς τῷ δήμῳ διαλεγομένους, ἀναγινωσκόμενοι δ' οἱ Δημοσθένους λόγοι πολὺ τῇ κατασκευῇ καὶ δυνάμει διαφέρουσιν.

Οἱ μὲν οὖν γεγραμμένοι τῶν λόγων ὅτι τὸ αὐστηρὸν πολὺ καὶ πικρὸν ἔχουσι, τί ἂν λέγοι τις(13); Ἐν δὲ ταῖς παρὰ τὸν καιρὸν ἀπαντήσεσιν(14) ἐχρῆτο καὶ τῷ γελοίῳ. Δημάδου μὲν γὰρ εἰπόντος «Ἐμὲ Δημοσθένης(15); ἡ ὗς τὴν Ἀθηνᾶν(16)», «Αὕτη» εἶπεν

---

5. Ῥήσεις. Voy. note 8 du chap. VII.

6. Ἅμα τῷ πνεύματι πυκνουμένῳ, en resserrant, retenant sa respiration, c'est-à-dire d'une seule haleine. Cf. Cicéron, *loc. cit.*: «summa voce versus multos *uno spiritu* pronuntiare.»

7. *Τόνον, contentionem vocis.* On emploie de même en français le verbe *accentuer* en parlant de quelqu'un qui appuie sur une phrase ou sur un mot pour les faire ressortir, mais le substantif correspondant à ce verbe (dans ce sens), et qui rendrait ici exactement *τόνον*, n'existe pas.

8. *Τὴν ὑπόκρισιν.* Voy. note 10 du chap. VII.

9. *Οἱ χαρίεντες*, la classe élevée, l'aristocratie (par opposition à *τοῖς πολλοῖς*, la masse du peuple).

10. *Τὸ πλάσμα.* Voy. note 9 du chap. IX.

11. *Αἰσίωνα.* Esion, orateur contemporain de Démosthène, personnage sur lequel on manque aujourd'hui d'autres renseignements.

12. *Ἕρμιππος.* Sur Hermippe, voy. note 14 du chap. V.

13. *Τί ἂν λέγοι τις;* A quoi bon le dire, *puisque tout le monde le sait* (sous-entendu)?

14. *Ταῖς παρὰ τὸν καιρὸν ἀπαντήσεσιν*, les ripostes du moment.

15. *Ἐμὲ Δημοσθένης*, sous-entendu: *βούλεται διορθοῦν*.

16. *Ἡ ὗς τὴν Ἀθηνᾶν.* Le même proverbe existe mot pour mot en latin: *sus Minervam.*

« ἡ Ἀθηνᾶ πρώην ἐν Κολλυτῷ[17] μοιχεύουσα ἐλήφθη. » Πρὸς δὲ τὸν κλέπτην, ὃς ἐπεκαλεῖτο Χαλκοῦς[18], καὶ αὐτὸν[19] εἰς τὰς ἀγρυπνίας αὐτοῦ καὶ νυκτογραφίας πειρώμενόν τι λέγειν « Οἶδα » εἶπεν « ὅτι σε λυπῶ λύχνον καίων[20]. Ὑμεῖς δέ, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θαυμάζετε τὰς γινομένας κλοπάς, ὅταν τοὺς μὲν κλέπτας χαλκοῦς[21], τοὺς δὲ τοίχους πηλίνους ἔχωμεν. » Ἀλλὰ περὶ μὲν τούτων καὶ ἑτέρων γελοίων καίπερ ἔτι πλείω λέγειν ἔχοντες ἐνταῦθα παυσόμεθα· τὸν δ' ἄλλον αὐτοῦ[22] τρόπον καὶ τὸ ἦθος ἀπὸ τῶν πράξεων καὶ τῆς πολιτείας θεωρεῖσθαι δίκαιόν ἐστιν.

CHAPITRE XII.

Ὥρμησε μὲν οὖν ἐπὶ τὸ πράττειν τὰ κοινὰ τοῦ Φωκικοῦ πολέμου συνεστῶτος, ὡς αὐτός τέ φησι[1] καὶ λαβεῖν ἔστιν[2] ἀπὸ τῶν Φιλιππικῶν δημηγοριῶν[3]. Αἱ μὲν γὰρ ἤδη διαπεπραγμένων ἐκείνων[4] γεγόνασιν, αἱ δὲ πρεσβύταται τῶν ἔγγιστα πραγμάτων

---

17. *Κολλυτῷ*. Le Collyte, quartier d'Athènes.

18. *Χαλκοῦς*. On manque de détails sur ce voleur, qui paraît avoir été jadis fameux.

19. *Αὐτὸν*, lui le voleur; et, trois mots plus loin: *αὐτοῦ*, lui Démosthène.

20. *Λύχνον καίων*. On comprend que la lampe de Démosthène qui brûlait dérangeât les voleurs nocturnes.

21. *Χαλκοῦς*. Jeu de mot sur le nom du voleur en question (*Χαλκοῦς*), qui signifie *d'airain*. Des murs de maison en *torchis* (*πηλίνους*: c'est-à-dire en ce mortier mélangé de paille, qui s'appelait *πηλὸς ἠχυρωμένος* ou *τετοιχωμένος* ou *διειργασμένος*) seront facilement *percés* (qu'on songe au mot *τοιχωρύχος*, « qui perce les murs », pour dire *voleur*) par des voleurs d'airain (*χαλκοῦς*).

22. *Αὐτοῦ*, de Démosthène.

Ch. XII.] 1. *Couronne* (§ 18): *Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δι' ἐμέ (οὐ γὰρ ἔγωγ' ἐπολιτευόμην πω τότε)* . . . La première en date des harangues de Démosthène, celle *sur les Symmories* est de 354 av. J.-C., un an après le commencement de la guerre Sacrée (ou guerre de Phocide).

2. *Λαβεῖν ἔστιν*, on peut le prendre, c'est-à-dire le tirer, le conclure (cf. note 11 du chap. XIV). La première des harangues de Démosthène contre Philippe est la *première Philippique* prononcée en 351 avant notre ère: cf. la note précédente.

3. Plutarque et ses contemporains comprenaient sous le nom de *Δημοσθένους Φιλιππικαὶ δημηγορίαι* les dix discours suivants: 1re *Philippique* (351 av. J. C.), les trois *Olynthiennes* (été de 349 av. J. C.), sur la *Paix* (346), 2e *Philippique* (344), sur l'*Halonnèse* (en 342: d'ailleurs aprocryphe, cf. note 25 du chap. IX), sur les affaires de *Chersonèse*, 3e *Philippique* (en 341), 4e *Philippique* (prononcée, si elle est authentique, en 341/340 av. J. C.).

4. *Διαπεπραγμένων ἐκείνων*, les Phocéens achevés, c'est-à-dire réduits.

ἅπτονται(5). Δῆλος δ' ἐστὶ καὶ τὴν κατὰ Μειδίου(6) παρασκευασάμενος εἰπεῖν δίκην δύο μὲν ἐπὶ τοῖς τριάκοντα γεγονὼς ἔτη(7), μηδέπω δ' ἔχων ἰσχὺν ἐν τῇ πολιτείᾳ μηδὲ δόξαν. Ὃ καὶ μάλιστά μοι δοκεῖ δείσας ἐπ' ἀργυρίῳ(8) καταθέσθαι τὴν πρὸς τὸν ἄνθρωπον ἔχθραν·

Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν οὐδ' ἀγανόφρων(9).

ἀλλ' ἔντονος καὶ βίαιος πρὸς τὰς ἀμύνας. Ὁρῶν δ' οὐ φαῦλον οὐδὲ τῆς αὑτοῦ δυνάμεως ἔργον(10) ἄνδρα καὶ πλούτῳ καὶ λόγῳ καὶ φίλοις εὖ πεφραγμένον καθελεῖν, τὸν Μειδίαν, ἐνέδωκε τοῖς ὑπὲρ αὐτοῦ δεομένοις. Αἱ δὲ τρισχίλιαι(11) καθ' ἑαυτὰς οὐκ ἄν(12) μοι δοκοῦσι τὴν Δημοσθένους ἀμβλῦναι πικρίαν, ἐλπίζοντος καὶ δυναμένου περιγενέσθαι.

Λαβὼν δὲ τῆς πολιτείας καλὴν ὑπόθεσιν τὴν πρὸς Φίλιππον ὑπὲρ τῶν Ἑλλήνων δικαιολογίαν καὶ πρὸς ταύτην ἀγωνιζόμενος ἀξίως, ταχὺ δόξαν ἔσχε καὶ περίβλεπτος ὑπὸ τῶν λόγων ἤρθη(13)

— La guerre Sacrée se termina en 346: Phalécus, le dernier général phocidien capitula avec toute son armée, aux Thermopyles, et Philippe procéda alors à la dévastation méthodique du pays sans défense.

5. Comparez entre elles les indications chronologiques des notes 3 & 4 du chap. XII. — Ἔγγιστα *instanti Phocensium excidio*. En somme, τὰ ἔγγιστα πράγματα, les derniers événements de la guerre Sacrée.

6. Midias, fils de Cephisophon, du dème d'Anagyre (Athènes), ennemi privé et antagoniste politique de Démosthène, se trouvait être l'un des plus riches et des plus puissants citoyens d'Athènes, lorsque Démosthène plaida contre ses tuteurs. Frappé un jour au visage en plein théâtre, dans l'exercice de ses fonctions de chorège, par Midias (cela semble s'être passé vers le printemps de 348 av. J. C.), Démosthène le poursuivit devant les tribunaux. Il dut écrire dans l'été de 347 le plaidoyer *contre Midias* qui s'est conservé jusqu'à nous, et ne fut d'ailleurs pas prononcé: Démosthène composa au dernier moment avec son adversaire, Plutarque dit par quel motif.

7. Cette donnée est empruntée à Démosthène lui-même, qui dit (*Midienne*, § 154): Δύο καὶ τριάκοντ' ἔτη γέγονα.

8. Pour 30 mines = 3000 drachmes (sur la valeur de ces monnaies, cf. la note 7 du chap. IV), comme Plutarque va le dire quelques lignes plus bas.

9. *Iliade*, XX, 467. Ce vers, qui s'applique à Achille, est suivi, dans l'*Iliade*, du rejet ἀλλὰ μάλ' ἐμμεμαώς, dont les mots ἀλλ' ἔντονος κτλ., chez Plutarque, sont une paraphrase.

10. Τῆς αὑτοῦ δυνάμεως ἔργον, «(entreprise) qui peust estre conduitte à chef par homme de si petite authorité et si petite puissance que luy.»

11. Αἱ δὲ τρισχίλιαι, sous-ent. δραχμαί (cf. note 8 du chap. XII).

12. Ἄν tombe sur l'infinitif ἀμβλῦναι. Supprimez δοκοῦσι, et la phrase reviendra à ceci: Αἱ τρισχίλιαι οὐκ ἂν ἤμβλυναν . . ., εἰ (Δημοσθένης) ἤλπιζε καὶ ἐδύνατο . . .

13. Περίβλεπτος . . . ἤρθη, construction ordinaire, ayant le même sens que donnerait cette construction théorique et inusitée: ἤρθη ὥστε εἶναι περίβλεπτος.

καὶ τῆς παρρησίας, ὥστε θαυμάζεσθαι μὲν ἐν τῇ Ἑλλάδι, θεραπεύεσθαι δ' ὑπὸ τοῦ μεγάλου βασιλέως, πλεῖστον δ' αὐτοῦ λόγον εἶναι παρὰ τῷ Φιλίππῳ τῶν δημαγωγούντων (14), ὁμολογεῖν (15) δὲ καὶ τοὺς ἀπεχθανομένους, ὅτι πρὸς ἔνδοξον αὐτοῖς ἄνθρωπον ὁ ἀγών ἐστι. Καὶ γὰρ Αἰσχίνης (16) καὶ Ὑπερείδης (17) τοιαῦτα περὶ αὐτοῦ κατηγοροῦντες εἰρήκασιν.

CHAPITRE XIII.

Ὅθεν οὐκ οἶδ' ὅπως παρέστη Θεοπόμπῳ (1) λέγειν, αὐτὸν ἀβέβαιον τῷ τρόπῳ γεγονέναι καὶ μήτε πράγμασι μήτ' ἀνθρώποις πολὺν χρόνον τοῖς αὐτοῖς ἐπιμένειν δυνάμενον. Φαίνεται γάρ, εἰς ἣν ἀπ' ἀρχῆς τῶν πραγμάτων μερίδα (2) καὶ τάξιν αὐτὸν ἐν τῇ πολιτείᾳ κατέστησε, ταύτην ἄχρι τοῦ τέλους διαφυλάξας (3) καὶ οὐ μόνον ἐν τῷ βίῳ μὴ μεταβαλόμενος, ἀλλὰ καὶ τὸν βίον ἐπὶ τῷ μὴ μεταβαλέσθαι προέμενος. Οὐ γάρ, — ὡς Δημάδης ἀπολογούμενος τὴν ἐν τῇ πολιτείᾳ μεταβολὴν ἔλεγεν, αὐτῷ μὲν αὐτὸς (4) τἀναντία πολλάκις εἰρηκέναι, τῇ δὲ πόλει μηδέποτε, —

---

14. *Πλεῖστον δ' αὐτοῦ κτλ.* *De tous* les hommes d'État athéniens, c'est de lui que Philippe tenait *le plus* de compte.

15. *Ὁμολογεῖν κτλ.* Cf. une prétendue lettre d'Eschine (que Plutarque ne considérait sans doute pas comme apocryphe), la douzième de la collection (§ 4, à propos du procès de la *Couronne*): *Καὶ οὐδὲν θαυμαστὸν, εἰ καὶ τῶν νόμων τῶν ὑμετέρων καὶ τῶν ἐμῶν λόγων ἡ Δημοσθένους δεινότης κρείσσων ἐγένετο.* Et Hypéride (*Contre Démosthène*, IV, 16-18): *Καὶ τοῖς μὲν ἐλάττοσι ῥήτορσιν ἀπέτινεν ὁ Ἅρπαλος χρυσίον, τοῖς θορύβου μόνον καὶ κραυγῆς κυρίοις, σὲ δὲ τὸν τῶν ὅλων πραγμάτων ἐπιστάτην παρεῖδεν; καὶ τῷ τοῦτο πιστόν;*

16. *Αἰσχίνης.* Sur Eschine, voy. note 1 du chap. IX.

17. *Ὑπερείδης.* Hypéride, fils de Glaucippe, du dème de Collyte (Athènes), né en 396, élève d'Isocrate et l'un des dix grands orateurs d'Athènes, appartenait au même parti politique que Démosthène. Cependant dans le «procès d'Harpale,» où Démosthène fut poursuivi pour corruption, Hypéride se trouva au nombre de ceux qui portèrent la parole contre Démosthène. Une partie importante du discours qu'il prononça dans cette circonstance, ainsi que trois autres discours, plus ou moins mutilés, du même orateur, ont été retrouvés de 1847 à 1856, en Égypte, dans des rouleaux de papyrus provenant de tombeaux antiques. A ne pas parler de quelques courts fragments cités par les auteurs anciens, c'est tout ce que nous possédons aujourd'hui de l'œuvre, jadis assez considérable, d'Hypéride. — L'hostilité d'Hypéride contre Démosthène ne fut que passagère. Sur la mort d'Hypéride (322 av. J. C.), voy. la fin du chap. XXVIII.

Ch. XIII.] 1. *Θεοπόμπῳ.* Sur Théopompe, voy. note 2 du chap. IV.

2. *Τὴν τῶν πραγμάτων μερίδα*, le *parti*.

3. *Τάξιν διαφυλάξας . . .*, à la guerre, *garder son poste*.

4. *Αὐτὸς* (en latin, on aurait *se*), parce que ce sujet de l'infinitif est le même que le sujet du verbe (*ἔλεγεν*) qui amène l'infinitif.

...πος(5) ἀντιπολιτευόμενος Καλλιστράτῳ(6) καὶ πολ-
... αὐτοῦ χρήμασι μετατιθέμενος εἰώθει λέγειν πρὸς τὸν
... μὲν ἀνὴρ ἐχθρὸς, τὸ δὲ τῆς πόλεως νικάτω συμφέ-
... — Νικόδημος δ' ὁ Μεσσήνιος(7) Κασσάνδρῳ προστιθέμε-
... εἶτ' αὖθις ὑπὲρ Δημητρίου(8) πολιτευόμενος οὐκ
...αντία λέγειν, ἀεὶ γὰρ εἶναι συμφέρον ἀκροᾶσθαι τῶν κρα-
... — οὕτως(9) καὶ περὶ Δημοσθένους ἔχομεν εἰπεῖν οἷον
...μένου καὶ πλαγιάζοντος(10) ἢ φωνὴν ἢ πρᾶξιν, ἀλλ' ὥσπερ
... καὶ ἀμεταβόλου διαγράμματος(11) τῆς πολιτείας ἕνα τό-
...ων ἐν τοῖς πράγμασιν ἀεὶ διετέλεσεν.

...αίτιος(12) δ' ὁ φιλόσοφος καὶ τῶν λόγων φησὶν αὐτοῦ οὕτω
...φθαι τοὺς πλείστους, ὡς μόνον τοῦ καλοῦ δι' αὐτὸ αἱρετοῦ
...ος, τὸν περὶ τοῦ στεφάνου, τὸν κατ' Ἀριστοκράτους,
τὸν ... τῶν ἀτελειῶν, τοὺς Φιλιππικούς(13)· ἐν οἷς πᾶ-

5. Μελάνωπος. Mélanope, fils de Lachès, fit partie de diverses ambassades envoyées par les Athéniens à Sparte (371 av. J. C.), en Égypte, en Carie; d'ailleurs d'une probité suspecte.

6. Καλλιστράτῳ. Sur Callistrate, voyez note 2 du chap. v.

7. Νικόδημος δ' ὁ Μεσσήνιος. Personnage inconnu.

8. Δημητρίου. Cassandre (fils d'Antipater), lieutenant et en réalité le roi de la Macédoine, fut de 317 à 307 maître d'Athènes, qu'il fit gouverner oligarchiquement pendant toute cette période par Demetrius de Phalère (voy. note 18, du chap. IX). En 307, Demetrius Poliorcète (fils d'Antigone, le compagnon d'armes d'Alexandre le Grand, le futur vaincu d'Ipsus, alors « roi d'Asie ») rétablit la démocratie à Athènes. C'est Demetrius Poliorcète que ce Nicodème, dont parle Plutarque, servit après avoir abandonné le parti de Cassandre battu.

9. Οὕτως. Reprenez οὐ γὰρ en tête de la phrase (neuf lignes plus haut).

10. Πλαγιάζοντος. On dit de même en français « biaisant ».

11. Ἐφ' ἑνὸς . . . . διαγράμματος et τόνον. Métaphores empruntées à la langue musicale des Grecs. Il y avait dans la musique grecque trois genres appelés genre *diatonique*, genre *chromatique* et genre *enharmonique*, ayant chacun une *échelle musicale* à part. La série de sons dont se composait chacune de ces trois échelles musicales s'appelait *διάγραμμα*. On conçoit un chanteur passant d'un genre à l'autre, c.-à-d. changeant de *διάγραμμα*: c'est ce que Démosthène, métaphoriquement parlant, ne fit point. Sans changer de *genre*, soit *ἐφ' ἑνὸς καὶ ἀμεταβόλου διαγράμματος*, on peut successivement choisir un *ton* ou un autre, c'est ce qui s'appelle *moduler*: Plutarque dit que Démosthène ne changea jamais, même de ton, en politique.

12. Παναίτιος. Panetius, fils de Nicagoras, de Rhodes, philosophe stoïcien; enseigna dans sa patrie, puis à Rome; fit le voyage d'Asie Mineure et d'Égypte (143 av. J. C.) avec Scipion l'Africain le Jeune; se fixa ensuite à Athènes où il passa le reste de ses jours. Les nombreux écrits qu'il avait composés sur la philosophie sont perdus. Son traité des *Devoirs* (*Περὶ τῶν καθηκόντων*) en 3 livres a servi, jusqu'à un certain point, de modèle à celui de Cicéron. Le témoignage de Panetius sur Démosthène, que rapporte ici Plutarque, paraît bien, par sa nature même, tiré de ces livres sur les devoirs.

13. Περὶ τοῦ στεφάνου . . . . τοὺς Φιλιππικούς. Pour les discours sur la

σιν οὐ πρὸς τὸ ἥδιστον ἢ ῥᾷστον ἢ λυσιτελέστατον ἄγει τοὺς πολίτας, ἀλλὰ πολλαχοῦ καὶ τὴν ἀσφάλειαν καὶ τὴν σωτηρίαν οἴεται δεῖν ἐν δευτέρᾳ(14) *τάξει τοῦ καλοῦ ποιεῖσθαι καὶ τοῦ πρέποντος, ὡς, εἴγε τῇ περὶ τὰς ὑποθέσεις*(15) *αὐτοῦ φιλοτιμίᾳ καὶ τῇ τῶν λόγων εὐγενείᾳ παρῆν ἀνδρεία τε πολεμιστήριος καὶ τὸ καθαρῶς ἕκαστα πράττειν*(16), *οὐκ ἐν τῷ περὶ Μοιροκλέα*(17) *καὶ Πολύευκτον*(18) *καὶ Ὑπερείδην*(19) *ἀριθμῷ τῶν ῥητόρων, ἀλλ' ἄνω*(20) *μετὰ Κίμωνος*(21) *καὶ Θουκυδίδου*(22) *καὶ Περικλέους*(23) *ἄξιος ἦν τίθεσθαι.*

Couronne, voy. le chap. XXIV; sur les Immunités, le chap. XV; contre Philippe, la note 3 du chap. XII. Démosthène écrivit le discours contre Aristocrate, en 352, pour Euthyclès, de Thria: Aristocrate, un inconnu mis en avant par des politiques plus puissants qui tenaient à ne pas se mettre à découvert, est accusé d'avoir introduit une clause illégale dans un décret honorifique en faveur de Charidème d'Orée (Eubée), général au service du roi de Thrace.

14. *Δευτέρα* (comme *πρότερος*) est, pour la forme et souvent par le sens (voy. le dictionnaire), un comparatif: d'où la construction *ἐν δευτέρᾳ τάξει τοῦ καλοῦ*, *après le beau.*

15. *Ὑποθέσεις*, desseins.

16. *Τὸ καθαρῶς ἕκαστα πράττειν*, «la netteté de ne prendre point d'argent.» (Am.)

17. *Μοιροκλέα.* Mœroclès, Athénien, natif de l'île Salamine, l'un des orateurs du parti hostile à la Macédoine, fut au nombre de ceux qu'Alexandre demanda aux Athéniens de lui livrer. (Voy. chap. XXIII).

18. Voyez note 5 du chap. X.

19. Voyez la dernière note du chap. XII.

6. Ce personnage s'appelait *Lucius* Roscius Othon, et non *Marcus*; il n'était pas *préteur*, mais *tribun du peuple*. La loi dont il s'agit, proposée il y avait déjà quatre ans, venait enfin d'être adoptée; elle réservait les quatorze premiers gradins du théâtre pour les chevaliers.

7. *Θέαν ἐξαίρετον*, place privilégiée au spectacle.

8. *Πρὸς ἀτιμίας* (génitif singul.), *in partem contumeliae*, *pro contumelia accipere*.

ὁ δῆμος ἔλαβε, καί, φανέντος ἐν τῷ θεάτρῳ τοῦ Ὄθωνος, ἐφυβρίζων ἐσύριττεν, οἱ δ' ἱππεῖς ὑπέλαβον κρότῳ τὸν ἄνδρα λαμπρῶς. Αὖθις δὲ ὁ δῆμος ἐπέτεινε τὸν συριγμόν, εἶτα ἐκεῖνοι τὸν κρότον. Ἐκ δὲ τούτου τραπόμενοι πρὸς ἀλλήλους ἐχρῶντο λοιδορίαις, καὶ τὸ θέατρον ἀκοσμία κατεῖχεν. Ἐπεὶ δ' ὁ Κικέρων ἧκε πυθόμενος καὶ τὸν δῆμον ἐκκαλέσας πρὸς τὸ τῆς Ἐνυοῦς ἱερὸν(9) ἐπετίμησε καὶ παρῄνεσεν(10), οἵδ' ἀπελθόντες εἰς τὸ θέατρον αὖθις ἐκρότουν τὸν Ὄθωνα λαμπρῶς καὶ πρὸς τοὺς ἱππέας ἅμιλλαν ἐποιοῦντο περὶ τιμῶν καὶ δόξης τοῦ ἀνδρός.

CHAPITRE XIV.

Ἡ δὲ περὶ τὸν Κατιλίναν συνωμοσία πτήξασα τὴν ἀρχὴν(1) αὖθις ἀνεθάρρει, καὶ συνῆγον(2) ἀλλήλους καὶ παρεκάλουν εὐτολμότερον ἅπτεσθαι τῶν πραγμάτων, πρὶν ἐπανελθεῖν Πομπήϊον(3), ἤδη λεγόμενον ὑποστρέφειν μετὰ τῆς δυνάμεως. Μάλιστα δὲ τὸν Κατιλίναν ἐξηρέθιζον οἱ Σύλλα πάλαι στρατιῶται, διαπεφυκότες(4) μὲν ὅλης τῆς Ἰταλίας, πλεῖστοι δὲ καὶ μαχιμώτατοι ταῖς Τυρρηνικαῖς ἐγκατεσπαρμένοι πόλεσιν, ἁρπαγὰς πάλιν καὶ διαφορήσεις πλούτων ἑτοίμων(5) ὀνειροπολοῦντες. Οὗτοι γὰρ ἡγεμόνα Μάλλιον(6) ἔχοντες, ἄνδρα τῶν ἐπιφανῶς ὑπὸ Σύλλᾳ στρατευσαμένων, συνίσταντο τῷ Κατιλίνᾳ καὶ παρῆσαν εἰς Ῥώμην συναρχαιρεσιάσοντες. Ὑπατείαν γὰρ αὖθις μετῄει, βεβουλευμένος ἀνελεῖν τὸν Κικέρωνα περὶ αὐτὸν τὸν τῶν ἀρχαιρεσιῶν θόρυβον. Ἐδόκει δὲ καὶ τὸ δαιμόνιον προσημαίνειν τὰ πρασσόμενα σεισμοῖς τε καὶ κεραυνοῖς καὶ φάσμασιν(7). Αἱ δ' ἀπ' ἀνθρώπων μηνύσεις(8) ἀληθεῖς μὲν ἦσαν, οὔπω δ' εἰς ἔλεγχον ἀποχρῶσαι

---

9. Le temple de Bellone était situé dans le Champ de Mars, ainsi que le théâtre de Pompée, où se passa la scène que raconte ici Plutarque.

10. Le discours prononcé par Cicéron dans cette circonstance est perdu.

Ch. XIV.| 1. *Τὴν ἀρχήν*, expression adverbiale: *au commencement*.

2. *Συνῆγον*. Le sujet est « les conjurés » dont l'idée est comprise dans *ἡ περὶ τὸν Κατιλίναν συνωμοσία*.

3. Voy. le chapitre x.

4. *Διαπεφυκότες* peut être paraphrasé ainsi: *Διαπεφυτευμένοι καὶ οἷον ἐρριζωμένοι δι' ὅλης τῆς Ἰταλίας*.

5. *Ἑτοίμων*, toutes prêtes à être pillées.

6. *C. Manlius*, selon Salluste (*Catilina*, 24 et suiv.).

7. *Αἱ ἀπ' ἀνθρώπων μηνύσεις*, les révélations venant des hommes (cf. note 15 du ch. xix).

8. « On trouvera beaucoup de détails sur ces sinistres présages dans la *IIIe Catilinaire* (viii) et dans un long fragment du poème *De consulatu suo*, cité au Ier livre *De Divinatione* (chap. xi, § 17 sq.) ».

κατ' ἀνδρὸς ἐνδόξου καὶ δυναμένου μέγα τοῦ Κατιλίνα. Διὸ τὴν ἡμέραν τῶν ἀρχαιρεσιῶν ὑπερθέμενος[9] ὁ Κικέρων ἐκάλει τὸν Κατιλίναν εἰς τὴν σύγκλητον καὶ περὶ τῶν λεγομένων[10] ἀνέκρινεν. Ὁ δὲ πολλοὺς οἰόμενος εἶναι τοὺς πραγμάτων καινῶν[11] ἐφιεμένους ἐν τῇ βουλῇ, καὶ ἅμα τοῖς συνωμόταις ἐνδεικνύμενος[12], ἀπεκρίνατο τῷ Κικέρωνι μανικὴν ἀπόκρισιν· « Τί » γάρ ἔφη « πράττω δεινόν, εἰ, δυεῖν σωμάτων ὄντων, τοῦ μὲν ἰσχνοῦ καὶ κατεφθινηκότος, ἔχοντος δὲ κεφαλήν, τοῦ δ' ἀκεφάλου μέν, ἰσχυροῦ δὲ καὶ μεγάλου, τούτῳ κεφαλὴν αὐτὸς ἐπιτίθημι[13]; » Τούτων εἴς τε τὴν βουλὴν καὶ τὸν δῆμον ᾐνιγμένων ὑπ' αὐτοῦ, μᾶλλον ὁ Κικέρων ἔδεισε, καὶ τεθωρακισμένον αὐτὸν οἵ τε δυνατοὶ πάντες ἀπὸ τῆς οἰκίας καὶ τῶν νέων πολλοὶ κατήγαγον εἰς τὸ πεδίον[14]. Τοῦ δὲ θώρακος ἐπίτηδες ὑπέφαινέ τι παραλύσας ἐκ τῶν ὤμων τοῦ χιτῶνος[15], ἐνδεικνύμενος τοῖς ὁρῶσι τὸν κίνδυνον. Οἱ δ' ἠγανάκτουν καὶ συνεστρέφοντο περὶ αὐτόν· καὶ τέλος ἐν ταῖς ψήφοις τὸν μὲν Κατιλίναν αὖθις ἐξέβαλον[16], εἵλοντο δὲ Σιλανὸν ὕπατον καὶ Μουρήναν[17].

---

9. Les comices pour l'élection des consuls de l'année 62 furent, à la suite d'un discours prononcé par Cicéron dans le sénat le 21 octobre 63, remis, au lieu du lendemain 22, au 28 du même mois.

10. Cicéron, *Pro Murena* (chap. xxv): « *Itaque postridie frequenti senatu Catilinam excitavi atque eum de his rebus jussi, si quid vellet, quae ad me allatae essent, dicere.* »

11. *Πραγμάτων καινῶν, res novae*, la révolution.

12. *Καὶ . . . . ἐνδεικνύμενος*. Amyot: « Et aussi se voulant monstrer prest à ceulx qui estoient de sa conjuration. »

13. Cicéron (*l. cit.*): « *Tum enim dixit duo corpora esse rei publicae, unum debile, infirmo capite: alterum firmum, sine capite: huic, quum ita de se meritum esset, caput se vivo non defuturum.* » Ἐμαυτὸν (et non *αὐτὸς*) ἐπιτίθημι donnerait un équivalent exact de ces derniers mots.

14. *Ἀπὸ τῆς οἰκίας . . . εἰς τὸ πεδίον*. Amyot: « A l'aller de son logis jusques au champ de Mars, où se faisoient les élections. »

15. Cicéron (*Muren.*, xxvi): « *Descendi in campum cum firmissimo praesidio fortissimorum virorum et cum illa lata insignique lorica, non quae me tegeret — etenim sciebam Catilinam non latus aut ventrem, sed caput et collum solere petere, — verum ut omnes boni animadverterent, et quum in metu et periculo consulem viderent, id quod est factum, ad opem praesidiumque concurrerent.* » Les mots *τοῦ δὲ θώρακος — τοῦ χιτῶνος*, dont l'équivalent se retrouve d'ailleurs chez Dion Cassius (XXXVII, 29), paraissent avoir pour origine les mots *non quae me tegeret* du texte de Cicéron, mal compris.

16. *Τέλος*, accusatif employé adverbialement, *enfin* (voy. la note 1 du prés. ch.). — *Ἐν ταῖς ψήφοις*, par ses votes, — *ἐξέβαλον*, le peuple repoussa.

17. D. Junius Silanus, et L. Licinius Murena. Silanus était beau-frère de Caton d'Utique. « Murena s'était distingué, sous Lucullus, dans la guerre contre Mithridate; or, le triomphe de ce général ayant eu lieu à l'époque

CHAPITRE XV.

Οὐ πολλῷ δ' ὕστερον τούτων, ἤδη τῷ Κατιλίνᾳ τῶν ἐν Τυρρηνίᾳ στρατιωτῶν συνερχομένων(1) καὶ καταλοχιζομένων(2), καὶ τῆς ὡρισμένης πρὸς τὴν ἐπίθεσιν ἡμέρας ἐγγὺς οὔσης, ἧκον ἐπὶ τὴν Κικέρωνος οἰκίαν περὶ μέσας νύκτας ἄνδρες οἱ πρῶτοι καὶ δυνατώτατοι Ῥωμαίων, Μάρκος τε Κράσσος καὶ Μάρκος Μάρκελλος καὶ Σκιπίων Μέτελλος· κόψαντες δὲ τὰς θύρας καὶ καλέσαντες τὸν θυρωρὸν ἐκέλευον ἐπεγεῖραι καὶ φράσαι Κικέρωνι(3) τὴν παρουσίαν αὐτῶν. Ἦν δὲ τοιόνδε(4)· τῷ Κράσσῳ μετὰ δεῖπνον ἐπιστολὰς ἀποδίδωσιν(5) ὁ θυρωρός, ὑπὸ δή τινος ἀνθρώπου κομισθείσας ἀγνῶτος, ἄλλας ἄλλοις ἐπιγεγραμμένας, αὐτῷ δὲ Κράσσῳ μίαν ἀδέσποτον(6). Ἣν μόνην ἀναγνοὺς ὁ Κράσσος, ὡς ἔφραζε τὰ γράμματα φόνον γενησόμενον πολὺν διὰ Κατιλίνα(7) καὶ παρῄνει τῆς πόλεως ὑπεξελθεῖν, τὰς ἄλλας οὐκ ἔλυσεν(8), ἀλλ' ἧκεν εὐθὺς πρὸς τὸν Κικέρωνα, πληγεὶς ὑπὸ τοῦ δεινοῦ καί τι καὶ τῆς αἰτίας ἀπολυόμενος, ἣν ἔσχε διὰ φιλίαν τοῦ Κατιλίνα. Βουλευσάμενος οὖν ὁ Κικέρων ἅμ' ἡμέρᾳ βουλὴν συνήγαγε, καὶ τὰς ἐπιστολὰς κομίσας ἀπέδωκεν οἷς ἦσαν ἐπεσταλμέναι, κελεύσας φανερῶς ἀναγνῶναι(9). Πᾶσαι δ' ὁμοίως τὴν ἐπιβουλὴν ἔφραζον. Ἐπεὶ δὲ Κόϊντος Ἄρριος,

---

des comices, presque toute l'armée de Lucullus soutint la candidature de Murena. Accusé de brigue par Caton, il fut défendu par les trois plus grands orateurs de Rome, Crassus, Hortensius et Cicéron. » Plusieurs passages du *Pro Murena* de Cicéron viennent d'être cités dans les notes précédentes.

(Ch. XV.) 1. C'est à Fésules, un peu au nord de Florence, qu'était fixé le lieu principal de rendez-vous. Cf. Salluste (*Catil.*, 30) : « *Litteras Faesulis allatas . . . . in quibus scriptum erat C. Manlium arma cepisse cum magna multitudine ante diem VI kalendas novembres.* » Cf. la fin du présent chapitre.

2. Καταλοχιζομένων, s'organisant en compagnies (λόχοι). Plutarque appelle λοχαγός le *centurio* romain.

3. On ne saurait s'exprimer ainsi en français: « de réveiller et de dire à Cicéron », pour: « de réveiller Cicéron et de *lui* dire. »

4. *Ἦν δὲ τοιόνδε*, voici ce qu'il y avait.

5. Ἀποδίδωσιν, présent de narration. En français: « lui avait remis. »

6. Ἀδέσποτον, anonyme. — « On sait, par un passage de la *Vie de Crassus* (ch. XIII), que Plutarque a trouvé ces détails dans l'« Histoire de son consulat », que Cicéron avait composée en grec. »

7. Φόνον . . . . Κατιλίνα, « que bien tost il se devoit faire un fort grand meurtre en la ville par Catilina. » (Amyot.)

8. Ἔλυσεν. Les lettres chez les anciens étaient de petits rouleaux fermés par une ficelle ou un ruban, qu'on dénouait ou coupait pour ouvrir le rouleau.

9. Φανερῶς ἀναγνῶναι, « de les lire tout hault. » (Amyot.)

ἀνὴρ στρατηγικός, εἰσήγγελλε τοὺς ἐν Τυρρηνίᾳ καταλοχισμούς (10), *καὶ Μάλλιος ἀπηγγέλλετο, σὺν χειρὶ μεγάλῃ περὶ τὰς πόλεις ἐκείνας αἰωρούμενος* (11), *ἀεί τι προσδοκῶν καινὸν ἀπὸ τῆς Ῥώμης, γίνεται δόγμα τῆς βουλῆς παρακαταθέσθαι* (12) *τοῖς ὑπάτοις τὰ πράγματα, δεξαμένους δ' ἐκείνους ὡς ἐπίστανται διοικεῖν καὶ σώζειν τὴν πόλιν. Τοῦτο δ' οὐ πολλάκις, ἀλλ' ὅταν τι μέγα δείσῃ, ποιεῖν εἴωθεν ἡ σύγκλητος.*

CHAPITRE XVI.

Ἐπεὶ δὲ ταύτην λαβὼν τὴν ἐξουσίαν ὁ Κικέρων τὰ μὲν ἔξω πράγματα Κοΐντῳ Μετέλλῳ διεπίστευσε (1), *τὴν δὲ πόλιν εἶχε διὰ χειρὸς* (2) *καὶ καθ' ἡμέραν προῄει δορυφορούμενος ὑπ' ἀνδρῶν τοσούτων τὸ πλῆθος, ὥστε τῆς ἀγορᾶς πολὺ μέρος κατέχειν, ἐμβάλλοντος αὐτοῦ* (3), *τοὺς παραπέμποντας, οὐκέτι καρτερῶν τὴν μέλλησιν ὁ Κατιλίνας αὐτὸς μὲν ἐκπηδᾶν ἔγνω πρὸς τὸν Μάλλιον ἐπὶ τὸ στράτευμα, Μάρκιον δὲ καὶ Κέθηγον* (4) *ἐκέλευσε ξίφη*

---

10. *Καταλοχισμούς*. Voy. la note 2 du prés. chap.

11. *Αἰωρούμενος*, métaphore tirée du vautour qui plane dans les airs en attendant de fondre sur sa proie.

12. *Παρακαταθέσθαι*. Pour se rendre compte de cet infinitif et des suivants, *διοικεῖν, σώζειν*, il faut se rappeler la formule des décrets grecs: *Ἔδοξεν τῇ βουλῇ (= γίνεται δόγμα τῆς βουλῆς) παρακαταθέσθαι*, il a paru bon au sénat de mettre, *ou* qu'on remette les affaires aux mains des consuls, et que ceux-ci les ayant reçues, (et que ceux-ci, en prenant la charge,) administrent du mieux qu'ils sauront (*ὡς ἐπίστανται*) et sauvent la ville. C'est, en latin, la fameuse formule: « *Dent operam consules ne quid detrimenti res publica capiat.* » Le sénat ne pouvait confier à des magistrats de pouvoir plus étendu. « *Ea potestas*, dit Salluste (*Catilina*, 29), *per senatum more Romano magistratui maxuma permittitur, exercitum parare, bellum gerere, coercere omnibus modis socios atque cives, domi militiaeque imperium atque judicium summum habere: aliter sine populi jussu nullius earum rerum consuli jus est.* »

Ch. XVI.] 1. Voy. Cicéron, *IIe Catilinaire*, XII, 26: « *Q. Metellus, quem ego hoc prospiciens in agrum Gallicum Picenumque praemisi, aut opprimet hominem aut omnes ejus motus conatusque prohibebit.* » Comparez Salluste, *Catil.*, 30: « *Igitur senati decreto Q. Marcius Rex Faesulas, Q. Metellus Creticus in Apuliam circumque ea loca missi . . ., sed praetores Q. Pompeius Rufus Capuam, Q.* METELLUS CELER IN AGRUM PICENUM, *eisque permissum uti pro tempore atque periculo exercitum compararent.* » L'expression de Plutarque manque d'exactitude.

2. *Εἶχε διὰ χειρός* équivaut à *διεχείριζε*.

3. Le verbe *ἐμβάλλειν* marque que Cicéron et son cortège entraient dans la place publique en refoulant la multitude qui en encombrait l'accès.

4. *Μάρκιον καὶ Κέθηγον*. Plutarque fait erreur sur les noms. Les deux personnages dont il s'agit ici et qui s'étaient chargés d'assassiner Cicéron,

λαβόντας ἐλθεῖν ἐπὶ τὰς θύρας ἕωθεν ὡς ἀσπασομένους τὸν Κικέρωνα καὶ διαχρήσασθαι προσπεσόντας (5). *Τοῦτο Φουλβία* (6), *γυνὴ τῶν ἐπιφανῶν, ἐξήγγειλε τῷ Κικέρωνι, νυκτὸς ἐλθοῦσα καὶ διακελευσαμένη φυλάττεσθαι τοὺς περὶ τὸν Κέθηγον. Οἱ δ' ἧκον ἅμ' ἡμέρᾳ, καὶ κωλυθέντες εἰσελθεῖν ἠγανάκτουν καὶ κατεβόων ἐπὶ ταῖς θύραις, ὥστε ὑποπτότεροι γενέσθαι. Προελθὼν δ' ὁ Κικέρων ἐκάλει τὴν σύγκλητον εἰς τὸ τοῦ Στησίου Διὸς ἱερόν, ὃν Στάτορα Ῥωμαῖοι καλοῦσιν, ἱδρυμένον ἐν ἀρχῇ τῆς Ἱερᾶς ὁδοῦ, πρὸς τὸ Παλάτιον ἀνιόντων* (7). *Ἐνταῦθα καὶ τοῦ Κατιλίνα μετὰ τῶν ἄλλων ἐλθόντος ὡς ἀπολογησομένου, συγκαθίσαι μὲν οὐδεὶς ὑπέμεινε τῶν συγκλητικῶν, ἀλλὰ πάντες ἀπὸ τοῦ βάθρου μετῆλθον* (8). *Ἀρξάμενος δὲ λέγειν ἐθορυβεῖτο, καὶ τέλος ἀναστὰς ὁ Κικέρων* (9) *προσέταξεν* (10) *αὐτῷ τῆς πόλεως ἀπαλλάττεσθαι· δεῖν γὰρ αὐτοῦ μὲν ἐν λόγοις, ἐκείνου δ' ἐν ὅπλοις πολιτευομένου μέσον εἶναι τὸ τεῖχος* (11). *Ὁ μὲν οὖν Κατι-*

étaient C. Cornelius, chevalier romain (voy. Cicéron, *Pro Sulla* VI, 18 et XVIII, 52; Salluste, *Cat.*, 28), et L. Vargunteius, sénateur (Salluste, *ibid.*).

5. Salluste, *ibid.*: « *Sicuti salutatum introire ad Ciceronem ac de improviso domui suae imparatum confodere.* »

6. Cf. Salluste, *ib.*, 23 et 26.

7. *Ἱδρυμένον . . . . ἀνιόντων.* Amyot traduit exactement: « Lequel est situé à l'entrée de la rue Sacrée, ainsi que l'on monte au mont Palatin. » La *via Sacra*, d'ailleurs, ne montait pas au Palatin: Plutarque ne s'est pas exprimé avec une suffisante clarté. « Vers l'arc de Titus, dit M. Boissier (*Promenades archéologiques*, chap. II), une rue se détache de la voie Sacrée et monte droit vers la colline (du Palatin) . . .: c'était la rue ou montée Palatine, *clivus Palatinus*. A peine s'y est-on engagé qu'on rencontre les assises encore visibles d'une grande porte . . . » C'était la *Vetus porta* ou *porta Mugonia*, percée dans l'enceinte de Romulus. En fouillant à droite de cette porte, on a retrouvé, il y a une vingtaine d'années, les fondations d'un très ancien temple. « Ce temple, on n'en peut guère douter, est celui de Jupiter Stator, un des plus célèbres de Rome, et que jusqu'ici les archéologues mettaient à leur fantaisie un peu partout, faute d'en savoir l'emplacement véritable. » — *Ἀνιόντων*, génitif absolu: *lorsqu'on monte* au Palatin.

8. *Συγκαθίσαι . . . μετῆλθον.* Cicéron, *Ire Catilinaire*, VII, 16: « *Adventu tuo ista subsellia vacuefacta sunt, . . omnes consulares, qui tibi persaepe ad caedem constituti fuerunt, simul atque adsedisti, partem istam subselliorum nudam atque inanem reliquerunt.* »

9. C'est dans cette occasion qu'il prononça la *Ire Catilinaire*.

10. *Προσέταξεν* est une expression inexacte. Cicéron ne donna point à Catilina l'ordre de quitter la ville, ce qui eût pu être considéré comme un abus de pouvoir: il le lui conseilla. On peut encore lire son discours, qui est conservé. Cicéron dévoila, en présence de Catilina, toute la conjuration; et celui-ci, épouvanté de voir le complot percé à jour, et ne se sentant plus en sûreté à Rome, s'empressa de sortir de la ville.

11. Cicéron, *Ire Catil.*, V, 10. » *Magno me metu liberabis, dummodo inter me atque te murus intersit.* »

λίνας εὐθὺς ἐξελθὼν μετὰ τριακοσίων ὁπλοφόρων, καὶ περιστησάμενος αὑτῷ ῥαβδουχίας ὡς ἄρχοντι καὶ πελέκεις, καὶ σημαίας ἐπαιρόμενος, πρὸς τὸν Μάλλιον ἐχώρει· καί, δισμυρίων ὁμοῦ τι συνηθροισμένων, ἐπῄει τὰς πόλεις ἀφιστὰς καὶ ἀναπείθων, ὥστε, τοῦ πολέμου φανεροῦ γεγονότος, τὸν Ἀντώνιον ἀποσταλῆναι διαμαχούμενον.

CHAPITRE XVII.

Τοὺς δ' ὑπολειφθέντας ἐν τῇ πόλει τῶν διεφθαρμένων ὑπὸ τοῦ Κατιλίνα συνῆγε καὶ παρεθάρρυνε Κορνήλιος Λέντλος, Σούρας ἐπίκλησιν, ἀνὴρ γένους μὲν ἐνδόξου, βεβιωκὼς δὲ φαύλως καὶ δι' ἀσέλγειαν ἐξεληλαμένος τῆς βουλῆς πρότερον, τότε δὲ στρατηγῶν τὸ δεύτερον, ὡς ἔθος ἐστὶ τοῖς ἐξ ὑπαρχῆς ἀνακτωμένοις τὸ βουλευτικὸν ἀξίωμα(1). Λέγεται δὲ καὶ τὴν ἐπίκλησιν αὐτῷ γενέσθαι τὸν Σούραν ἐκ τοιαύτης αἰτίας. Ἐν τοῖς κατὰ Σύλλαν χρόνοις ταμιεύων, συχνὰ τῶν δημοσίων χρημάτων ἀπώλεσε καὶ διέφθειρεν. Ἀγανακτοῦντος δὲ τοῦ Σύλλα καὶ λόγον ἀπαιτοῦντος ἐν τῇ συγκλήτῳ, προσελθὼν ὀλιγώρως πάνυ καὶ καταφρονητικῶς, λόγον μὲν οὐκ ἔφη διδόναι, παρεῖχε δὲ τὴν κνήμην, ὥσπερ εἰώθασιν οἱ παῖδες, ὅταν ἐν τῷ σφαιρίζειν διαμάρτωσιν(2). Ἐκ τούτου(3) Σούρας παρωνομάσθη· σούραν γὰρ οἱ Ῥωμαῖοι τὴν κνήμην λέγουσι. Πάλιν δὲ δίκην ἔχων καὶ διαφθείρας ἐνίους τῶν δικαστῶν, ἐπεὶ δυσὶ μόναις ἀπέφυγε ψήφοις, ἔφη παρανάλωμα γεγονέναι τὸ θατέρῳ κριτῇ δοθέν· ἀρκεῖν γὰρ εἰ καὶ μιᾷ ψήφῳ μόνον ἀπελύθη(4). Τοῦτον, ὄντα τῇ φύσει τοιοῦτον καὶ κεκινη-

Ch. XVII.] 1. « Quand un sénateur s'était par sa conduite, rendu indigne de faire partie du sénat, les censeurs avaient le droit de l'exclure, lors de leur révision de la liste sénatoriale; le sénateur ainsi déchu était dit *senatu motus*. Il n'y avait point de déshonneur permanent attaché à cette peine disciplinaire; il restait possible à l'intéressé de reconquérir son rang de sénateur, soit en se faisant de nouveau élire à une charge qui conférait de droit l'admission au sénat, soit en obtenant des censeurs qui succédaient à ceux qui avaient fait la radiation, la réintégration pure et simple. »

2. « In ludo puerili pilae, qui peccaverat, *suram* dabat, nimirum crus prolatum pila feriendum dabat. » (Turnèbe.)

3. On a pourtant remarqué (Wolf's *Literar. Analekten*, I, 509) que ce Lentulus n'est pas le premier personnage de la famille qui ait porté le *cognomen* de Sura.

4. Ἐπεὶ . . . ἀπελύθη. Amyot : « Et ayant esté absouls par deux voix de plus tant seulement qu'il eut en sa faveur, il dit qu'il avoit perdu l'argent qu'il avoit baillé à l'un de ces deux juges-là, pour ce que luy estoit assez d'estre absouls par une seule voix de plus. »

μένων ὑπὸ τοῦ Κατιλίνα, προσδιέφθειραν ἐλπίσι κεναῖς ψευδομάντεις καὶ γόητες ἔπη πεπλασμένα καὶ χρησμοὺς ᾄδοντες, ὡς ἐκ τῶν Σιβυλλείων, ἀποδηλοῦντας εἱμαρμένους εἶναι τῇ Ῥώμῃ Κορνηλίους τρεῖς μονάρχους· ὧν δύο μὲν ἤδη πεπληρωκέναι(6) τὸ χρεών, Κίνναν τε καὶ Σύλλαν, τρίτῳ δὲ λοιπῷ Κορνηλίῳ ἐκείνῳ φέροντα τὴν μοναρχίαν ἥκειν τὸν δαίμονα, καὶ δεῖν πάντως δέχεσθαι καὶ μὴ διαφθείρειν μέλλοντα τοὺς καιρούς(7), ὥσπερ Κατιλίνας.

CHAPITRE XVIII.

Οὐδὲν οὖν ἐπενόει κακὸν ὁ Λέντλος ἰάσιμον, ἀλλ' ἐδέδοκτο(1) τὴν βουλὴν ἅπασαν ἀναιρεῖν καὶ τῶν ἄλλων πολιτῶν ὅσους δύναιντο, τήν τε πόλιν αὐτὴν κατεμπιμπράναι(2), φείδεσθαί τε μηδενὸς ἢ τῶν Πομπηΐου τέκνων· ταῦτα(3) δ' ἐξαρπασαμένους ἔχειν ὑφ' αὑτοῖς καὶ φυλάττειν ὅμηρα τῶν πρὸς Πομπήϊον διαλύσεων· ἤδη γὰρ ἐφοίτα πολὺς λόγος καὶ βέβαιος ὑπὲρ αὐτοῦ κατιόντος ἀπὸ τῆς μεγάλης στρατείας(4). Καὶ νὺξ μὲν ὥριστο πρὸς τὴν ἐπίθεσιν μία τῶν Κρονιάδων(5), ξίφη δὲ καὶ στυππεῖον καὶ θεῖον εἰς τὴν Κεθήγου(6) φέροντες οἰκίαν ἀπέκρυψαν. Ἄν-

---

5. Ὡς ἐκ τῶν Σιβυλλείων, « qu'ilz disoient estre extraittes des livres de la Sibylle. » (Amyot.)

6. Πεπληρωκέναι. Cet infinitif et les suivants, ἥκειν et δεῖν, dépendent des mots ἔλεγον οἱ ψευδομάντεις sous-entendus, et dont l'idée, contenue dans προσδιέφθειραν ἐλπίσι κτλ., domine toute la phrase.

7. Διαφθείρειν μέλλοντα τοὺς καιρούς, « laisser perdre les occasions en trop dilayant. » (Amyot.)

Ch. XVIII.] 1. Ἐδέδοκτο, « visum erat *eis*, » les conjurés avaient décidé.

2. Cicéron, *IIIe Catil.*, IV, 8 : « *Quum urbem ex omnibus partibus, quemadmodum descriptum distributumque erat, incendissent caedemque infinitam civium fecissent,* » etc.

3. Ταῦτα (τὰ τέκνα).

4. Ἤδη . . . στρατείας. Amyot : « Car il estoit jà grand bruit, et le tenoit on pour tout asseuré, qu'il retournoit des grandes guerres et conquestes qu'il avoit faictes ès païs d'Orient. » Comp. *Vie de Démosth.*, ch. I, p. 317 : ὡς ὁ πολὺς κρατεῖ λόγος.

5. Originairement, et encore au moment de la conjuration de Catilina, les Saturnales ne duraient qu'un jour : cette fête tombait alors le 19 décembre. A la suite de la réforme du calendrier par Jules César, elle fut reportée au 17 décembre. Puis, sous Auguste, pour rendre au 19 ses anciennes prérogatives, on fit durer les Saturnales trois jours, du 17 au 19. Tibère les prolongea encore d'un jour, et enfin Caligula permit un cinquième jour. — En disant μία τῶν Κρονιάδων, Plutarque commet un anachronisme.

6. C. Cethegus (de la *gens* Cornelia), ne semble avoir rempli d'autre charge que la questure, à la suite de quoi il était entré au sénat.

δρας δὲ τάξαντες ἑκατὸν καὶ μέρη τοσαῦτα τῆς Ῥώμης(7), ἕκαστον ἐφ' ἑκάστῳ διεκλήρωσαν, ὡς δι' ὀλίγου πολλῶν ἀναψάντων φλέγοιτο πανταχόθεν ἡ πόλις. Ἄλλοι δὲ τοὺς ὀχετοὺς ἔμελλον ἐμφράξαντες ἀποσφάττειν τοὺς ὑδρευομένους(8).

Πραττομένων δὲ τούτων, ἔτυχον ἐπιδημοῦντες Ἀλλοβρίγων(9) δύο πρέσβεις, ἔθνους μάλιστα δὴ τότε πονηρὰ πράττοντος(10) καὶ βαρυνομένου (11) τὴν ἡγεμονίαν. Τούτους οἱ περὶ Λέντλον ὠφελίμους ἡγούμενοι πρὸς τὸ κινῆσαι καὶ μεταβαλεῖν τὴν Γαλατίαν ἐποιήσαντο συνωμότας. Καὶ γράμματα μὲν αὐτοῖς πρὸς τὴν ἐκεῖ βουλήν (12), γράμματα δὲ πρὸς Κατιλίναν ἔδοσαν, τῇ μὲν(13) ὑπισχνούμενοι τὴν ἐλευθερίαν, τὸν δὲ Κατιλίναν παρακαλοῦντες ἐλευθερώσαντα τοὺς δούλους ἐπὶ τὴν Ῥώμην ἐλαύνειν. Συναπέστελλον δὲ πρὸς Κατιλίναν μετ' αὐτῶν Τίτον τινὰ Κροτωνιάτην(14) κομίζοντα τὰς ἐπιστολάς. Οἷα δ' ἀνθρώπων ἀσταθμήτων καὶ μετ' οἴνου τὰ πολλὰ καὶ γυναικῶν ἀλλήλοις ἐντυγχανόντων βουλεύματα πόνῳ καὶ λογισμῷ νήφοντι καὶ συνέσει περιττῇ διώκων ὁ Κικέρων(15), καὶ πολλοὺς μὲν ἔχων ἔξωθεν ἐπισκοποῦντας τὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ, πολλοῖς δὲ τῶν μετέχειν τῆς συνωμοσίας δοκούντων διαλεγόμενος κρύφα καὶ πιστοὺς

---

7. Salluste, *Catil.*, 43: « *Statilius et Gabinius uti cum magna manu* DUODECIM *simul opportuna loca urbis incenderent.* » Appien, *Guerres civiles*, II, 3: *Ἑτέρους ἐν δυώδεκα τόποις ἐμπιμπράναι τὴν πόλιν καὶ διαρπάζειν, καὶ κατακτείνειν τοὺς ἀρίστους.* — Le mot *ἑκατόν*, dans le texte de Plutarque, semble être une faute de copie pour *δωδέκατον*.

8. *Ἄλλοι . . . ὑδρευομένους.* Amyot: « Il y avoit d'autres hommes commis pour estoupper les canaulx et conduits *par où l'eau venoit en la ville*, et occire aussi ceulx qui vouldroient prendre de l'eau *pour esteindre le feu.* »

9. Les Allobroges, peuple de la Gaule Narbonaise, habitaient une partie du Dauphiné et presque toute la Savoie. — Pour les détails de cet épisode de la conjuration, voyez les chapitres 40 - 45 de Salluste.

10. *Πονηρὰ πράττοντος*, se trouvant dans une situation misérable (à cause des dettes dont ils étaient accablés).

11. *Βαρυνομένου* est construit et doit s'entendre comme *βαρέως φέροντος*.

12. *Τὴν ἐκεῖ βουλήν*, « le conseil de leur pays. » (Amyot.)

13. *Τῇ μὲν βουλῇ*, c'est-à-dire *τῇ ἐκεῖ*.

14. *Τίτον τινὰ Κροτωνιάτην.* Il arrive quelquefois à Plutarque de désigner ainsi des personnes, simplement par leur prénom suivi du nom de leur ville natale (p. ex. au chapitre XXIX, *διὰ Τύλλου τινὸς Ταραντίνου*). Le nom de ce « Titus de Crotone » était Vulturcius, à ce que nous apprennent Salluste (44), Cicéron (*III*e *Catil.* II, 4) et Appien (*Guerres civiles*, II, 4).

15. *Οἷα δ' ἀνθρώπων . . . . διώκων ὁ Κικέρων.* Construisez: *Ὁ δὲ Κικέρων, διώκων πόνῳ κτλ. . . . . (τούτων τὰ) βουλεύματα (τοιαῦτα ὄντα) οἷα ἀνθρώπων κτλ. . . . .* Amyot: « Mais tous leurs conseilz et toutes leurs délibérations, comme d'hommes étourdis, qui ne se trouvoient jamais en-

εὑρών (16), ἔγνω τὴν πρὸς τοὺς ξένους (17) κοινολογίαν· καὶ νυκτὸς ἐνεδρεύσας ἔλαβε τὸν Κροτωνιάτην καὶ τὰ γράμματα, συνεργούντων ἀδήλως τῶν Ἀλλοβρίγων.

CHAPITRE XIX.

Ἅμα δ' ἡμέρᾳ βουλὴν ἀθροίσας εἰς τὸ τῆς Ὁμονοίας ἱερόν (1), ἐξανέγνω τὰ γράμματα, καὶ τῶν μηνυτῶν διήκουσεν. Ἔφη δὲ καὶ Σιλανὸς Ἰούνιος (2) ἀκηκοέναι τινὰς Κεθήγου λέγοντος ὡς ὕπατοί τε τρεῖς (3) καὶ στρατηγοὶ τέτταρες ἀναιρεῖσθαι μέλλοιεν. Τοιαῦτα δ' ἕτερα καὶ Πείσων, ἀνὴρ ὑπατικός (4), εἰσήγγειλε. Γάϊος δὲ Σουλπίκιος, εἷς τῶν στρατηγῶν, ἐπὶ τὴν οἰκίαν πεμφθεὶς τοῦ Κεθήγου, πολλὰ μὲν ἐν αὐτῇ βέλη καὶ ὅπλα, πλεῖστα δὲ ξίφη καὶ μαχαίρας εὗρε (5) νεοθήκτους ἁπάσας. Τέλος δέ, τῷ Κροτωνιάτῃ ψηφισαμένης ἄδειαν ἐπὶ μηνύσει τῆς βουλῆς, ἐξελεγχθεὶς ὁ Λέντλος ἀπωμόσατο τὴν ἀρχήν (στρατηγῶν γὰρ ἐτύγχανε), καί, τὴν περιπόρφυρον ἐν τῇ βουλῇ καταθέμενος, διήλλαξεν ἐσθῆτα τῇ συμφορᾷ πρέπουσαν. Οὗτος μὲν οὖν καὶ οἱ σὺν αὐτῷ παρεδόθησαν εἰς ἄδεσμον φυλακὴν τοῖς στρατηγοῖς (6).

---

semble si non en yvrongnant avec folles femmes, estoient facilement descouverts par Ciceron, qui les alloit espiant et recherchant avec grande sollicitude (πόνῳ), sobre jugement (λογισμῷ νήφοντι), » etc.

16. *Καὶ πιστοὺς εὑρών*, et ayant trouvé *en eux* des émissaires sûrs. — Au lieu de ces mots, qu'on peut conjecturer être ce qu'avait écrit Plutarque, les manuscrits portent *καὶ πιστεύων*, « et se fiant à eux ». Cela ne va nullement avec le contexte, puisque la confiance que Cicéron pouvait avoir dans les révélations qui lui étaient faites, n'était pour rien dans la sûreté de ses informations. S'il était bien informé, c'est qu'on lui rapportait tout fidèlement.

17. *Ξένους*, les ambassadeurs Allobroges.

Ch. XIX.] 1. Le temple de la Concorde, aujourd'hui entièrement détruit, s'élevait au fond du Forum, au pied de la colline du Capitole. On le laissait sur la droite en montant le *clivus Capitolinus*. (Voy. les deux plans du Forum au temps de la république et de l'empire dans les *Promenades archéologiques* de M. Boissier.) — Cette séance se tint le 3 décembre.

2. « Julius Silanus, consul désigné, voy. chap. XIV, à la fin »

3. Savoir Cicéron, consul de l'année, et les deux consuls désignés pour l'année suivante, Silanus et Murena.

4. « *Consularis*. C. Calpurnius Pison avait été consul quatre ans auparavant, 67 avant J.-C. »

5. Cicéron. *III° Catilin.*, III, 8: « *Atque interea statim admonitu Allobrogum C. Sulpicium praetorem, fortem virum, misi, qui ex aedibus Cethegi, si quid telorum esset, efferret: ex quibus ille maximum sicarum numerum et gladiorum extulit.* »

6. Salluste, *Catil.*, 47: « *Senatus decernit uti*, abdicato magistratu (ἀπω-

Ἤδη δ' ἑσπέρας οὔσης καὶ τοῦ δήμου παραμένοντος ἀθρόως, προελθὼν ὁ Κικέρων, καὶ φράσας τὸ πρᾶγμα τοῖς πολίταις(7), *καὶ προπεμφθείς*(8), *παρῆλθεν εἰς οἰκίαν φίλου γειτνιῶντος, ἐπειδὴ* (9) *τὴν ἐκείνου γυναῖκες κατεῖχον ἱεροῖς ἀπορρήτοις ὀργιάζουσαι θεόν, ἣν Ῥωμαῖοι μὲν Ἀγαθήν* (10), *Ἕλληνες δὲ Γυναικείαν ὀνομάζουσιν. Ἐθύετο δ' αὐτῇ κατ' ἐνιαυτὸν ἐν τῇ οἰκίᾳ τοῦ ὑπάτου* (11) *διὰ γυναικὸς ἢ μητρὸς αὐτοῦ, τῶν Ἑστιάδων παρθένων παρουσῶν. Εἰσελθὼν* (12) *οὖν ὁ Κικέρων, καὶ γενόμενος καθ' αὑτόν* (13), *ὀλίγων παντάπασιν αὐτῷ παρόντων, ἐφρόντιζεν* (14) *ὅπως χρήσαιτο τοῖς ἀνδράσι. Τήν τε γὰρ ἄκραν καὶ προσήκουσαν ἀδικήμασι τηλικούτοις τιμωρίαν ἐξηυλαβεῖτο καὶ κατώκνει, δι' ἐπιείκειαν ἤθους ἅμα, καὶ ὡς μὴ δοκοίη τῆς ἐξουσίας ἄγαν ἐμφορεῖσθαι καὶ πικρῶς ἐπεμβαίνειν ἀνδράσι γένει τε πρώτοις καὶ φίλους δυνατοὺς ἐν τῇ πόλει κεκτημένοις· μαλακώτερον δὲ χρησάμενος, ὠρρώδει τὸν ἀπ' αὐτῶν κίνδυνον* (15). *Οὐ γὰρ ἀγαπήσειν* (16) *μετριώτερόν τι θανάτου παθόντας, ἀλλ' εἰς ἅπαν ἀναρραγήσεσθαι τόλμης, ὡς μετὰ τῆς παλαιᾶς κακίας νέαν*

μόσατο τὴν ἀρχήν), Lentulus itemque ceteri (*οὗτος καὶ οἱ σὺν αὐτῷ*) in liberis custodiis (*εἰς ἄδεσμον φυλακήν*) *habeantur. Itaque Lentulus P. Lentulo Spintheri, qui tum* ædilis *erat, Cethegus Q. Cornificio, Statilius C. Caesari, Gabinius M. Crasso, Caeparius Cn. Terentio* senatori *traduntur.* » L'expression *τοῖς στρατηγοῖς* qu'emploie Plutarque est inexacte. — Après *τὴν περιπόρφυρον*, sous-entendez *ἐσθῆτα*: la *toge prétexte* (c.-à-d. *purpura praetextam*, bordée de pourpre), insigne des hautes magistratures. — *Διήλλαξεν*, prit en échange.

7. Ce fut la troisième Catilinaire qu'il prononça dans cette occasion.

8. *Προπεμφθείς*, « reconvoyé par tout ce peuple. » (Amyot.)

9. *Ἐπειδή*, dans le sens de *ἐπεί*, *vu que* (emploi assez rare).

10. *Ὀργιάζουσαι θεόν*, fêtant la déesse. — Il sera de nouveau question des mystères de la Bonne Déesse au chap. XXVIII.

11. *Τοῦ ὑπάτου*, expression inexacte. On choisissait, pour la célébration de cette fête, où la présence des hommes était interdite, la maison de l'un des consuls ou des préteurs.

12. *Εἰσελθών* (dans la maison de l'ami).

13. *Γενόμενος καθ' αὑτόν*, s'étant renfermé en soi-même.

14. *Ἐφρόντιζεν κτλ.* Salluste, 46: « *Anxius erat dubitans, in maxumo scelere tantis civibus deprehensis*, quid facto opus esset (*ὅπως χρήσαιτο τοῖς ἀνδράσι*): pœnam (*τὴν γὰρ ἄκραν τιμωρίαν*) *sibi oneri* (*ἐξηυλαβεῖτο . . . κεκτημένοις*), *impunitatem* (*μαλακώτερον δὲ χρησάμενος*, = *εἰ μαλακώτερον αὐτοῖς χρήσαιτο*) *perdundae rei publicae* (*ὠρρώδει τὸν ἀπ' ἐκείνων κίνδυνον*) *fore credebat.* »

15. Cf. la note 7 du ch. XIV.

16. *Ἀγαπήσειν*, et plus loin, *δόξειν*. Ces infinitifs dépendent de *ὑπελάμβανεν*, *ᾤετο*, ou de quelque verbe de ce sens, qui est sous-entendu, mais dont l'idée, qu'a fait naître *ἐφρόντιζεν* un peu plus haut, persiste jusqu'à la fin de ce chapitre. — Entendez: *Οὐ γὰρ ἀγαπήσειν αὐτοὺς ᾤετο, εἰ μ. τ. θ. πάθοιεν.*

ὀργὴν προσλαβόντας· αὐτός τε δόξειν ἄνανδρος καὶ μαλακός, οὐδ' ἄλλως δοκῶν (17) *εὐτολμότατος εἶναι τοῖς πολλοῖς.*

CHAPITRE XX.

Ταῦτα τοῦ Κικέρωνος διαποροῦντος(1), *γίνεταί τι ταῖς γυναιξὶ θυούσαις σημεῖον. Ὁ γὰρ βωμός, ἤδη τοῦ πυρὸς κατακεκοιμῆσθαι*(2) *δοκοῦντος, ἐκ τῆς τέφρας καὶ τῶν κατακεκαυμένων φλοιῶν φλόγα πολλὴν ἀνῆκε καὶ λαμπράν. Ὑφ' ἧς αἱ μὲν ἄλλαι*(3) *διεπτοήθησαν, αἱ δ' ἱεραὶ παρθένοι*(4) *τὴν τοῦ Κικέρωνος γυναῖκα Τερεντίαν ἐκέλευσαν ᾗ τάχος*(5) *χωρεῖν πρὸς τὸν ἄνδρα καὶ κελεύειν*(6) *οἷς ἔγνωκεν ἐγχειρεῖν ὑπὲρ τῆς πατρίδος, ὡς μέγα πρός τε σωτηρίαν καὶ δόξαν αὐτῷ τῆς θεοῦ φῶς διδούσης. Ἡ δὲ Τερεντία (καὶ γὰρ οὐδ' ἄλλως ἦν πρᾳεῖά τις οὐδ' ἄτολμος τὴν φύσιν, ἀλλὰ φιλότιμος γυνὴ καὶ μᾶλλον, ὡς αὐτός φησιν ὁ Κικέρων*(7), *τῶν πολιτικῶν μεταλαμβάνουσα παρ' ἐκείνου φροντίδων ἢ μεταδιδοῦσα τῶν οἰκιακῶν ἐκείνῳ) ταῦτά τε πρὸς αὐτὸν ἔφρασε καὶ παρώξυνεν ἐπὶ τοὺς ἄνδρας· ὁμοίως δὲ καὶ Κόϊντος ὁ ἀδελφὸς*(8) *καὶ τῶν ἀπὸ φιλοσοφίας ἑταίρων Πόπλιος Νιγίδιος*(9), *ᾧ τὰ πλεῖστα καὶ μέγιστα παρὰ τὰς πολιτικὰς ἐχρῆτο πράξεις*(10).

Τῇ δ' ὑστεραίᾳ, γινομένων ἐν συγκλήτῳ λόγων περὶ τιμωρίας

---

17. *Οὐδ' ἄλλως δοκῶν*, *lui qui déjà ne passait pas pour*, ou, comme Amyot, « avec ce que d'ailleurs il n'estoit pas tenu fort hardy. »

Ch. XX.] 1. *Ταῦτα τοῦ Κικέρωνος διαπορούντος.* Amyot: « Ainsi que Ciceron estoit en ces doubtes. »

2. « Nous disons de même: « un feu assoupi. » Virgile: *sopitos suscitat ignes.* »

3. *Αἱ μὲν ἄλλαι*, les autres *femmes* (qui étaient présentes).

4. *Αἱ δ' ἱεραὶ παρθένοι*, c.-à.-d. *αἱ Ἑστιάδες.*

5. *Ἧι τάχος*, comme *ὡς* ou *ὅσον τάχος*, *ὡς τάχιστα*, *ᾗ τάχιστα*, etc., toutes locutions pour dire: *bien vite, le plus vite possible.*

6. *Ἐκέλευσαν κελεύειν ἐγχειρεῖν*, lui dirent de dire (à son mari) de se mettre à exécuter — *οἷς ἔγνωκεν ὑπὲρ κτλ.*, « ce qu'il avoit en pensée pour l'utilité de . . . . » (Amyot.)

7. Le passage où Cicéron a dit cela ne se retrouve pas dans ses œuvres aujourd'hui conservées.

8. *Κόϊντος ὁ ἀδελφός*, son frère Quintus.

9. P. Nigidius Figulus, « le plus savant des Romains après Varron, » très lié avec Cicéron de par leurs communes discussions philosophiques (*ἀπὸ φιλοσοφίας*).

10. *Τὰ πλεῖστα καὶ μέγιστα* jouent le rôle d'adverbes auprès de *ἐχρῆτο*. *Παρὰ τὰς πολιτικὰς πράξεις*, dans le gouvernement des affaires publiques.

τῶν ἀνδρῶν, ὁ πρῶτος γνώμην ἐρωτηθεὶς(11) *Σιλανὸς εἶπε τὴν ἐσχάτην δίκην δοῦναι προσήκειν ἀχθέντας εἰς τὸ δεσμωτήριον. Καὶ τούτῳ προσετίθεντο*(12) *πάντες ἐφεξῆς μέχρι Γαΐου Καίσαρος*(13), *τοῦ μετὰ ταῦτα δικτάτορος γενομένου. Τότε δὲ νέος ὤν*(14) *ἔτι, καὶ τὰς πρώτας ἔχων τῆς αὐξήσεως ἀρχάς, ἤδη δὲ καὶ τῇ πολιτείᾳ καὶ ταῖς ἐλπίσιν εἰς ἐκείνην τὴν ὁδὸν ἐμβεβηκώς, ᾗ τὰ Ῥωμαίων εἰς μοναρχίαν μετέστησε πράγματα, τοὺς μὲν ἄλλους ἐλάνθανε, τῷ δὲ Κικέρωνι πολλὰς μὲν ὑποψίας, λαβὴν δ' εἰς ἔλεγχον οὐδεμίαν παρέδωκεν· ἀλλὰ καὶ λεγόντων ἦν ἐνίων ἀκούειν ὡς, ἐγγὺς ἐλθὼν ἁλῶναι, διεκφύγοι τὸν ἄνδρα*15). *Τινὲς δέ φασι περιιδεῖν*(16) *ἑκόντα καὶ παραλιπεῖν τὴν κατ' ἐκείνου μήνυσιν φόβῳ τῶν φίλων αὐτοῦ καὶ τῆς δυνάμεως· παντὶ γὰρ εἶναι πρόδηλον ὅτι μᾶλλον ἂν ἐκεῖνοι*(17) *γένοιντο προσθήκη Καίσαρι σωτηρίας ἢ Καῖσαρ ἐκείνοις κολάσεως.*

CHAPITRE XXI.

Ἐπεὶ δ' οὖν ἡ γνώμη περιῆλθεν εἰς αὐτόν(1), *ἀναστὰς*(2) *ἀπεφήνατο*(3) *μὴ θανατοῦν τοὺς ἄνδρας, ἀλλὰ τὰς οὐσίας εἶναι δημοσίας, αὐτοὺς δ' ἀπαχθέντας εἰς πόλεις τῆς Ἰταλίας, ἃς ἂν δοκῇ Κικέρωνι, τηρεῖσθαι δεδεμένους, ἄχρι ἂν οὐ καταπολεμηθῇ Κατιλίνας*(4).

---

11. On dit *ἐρωτῶ τινα γνώμην*, je demande à quelqu'un son avis; d'où, au passif, *ἐρωτᾶταί τις γνώμην*, on demande à quelqu'un son avis.
12. *Τούτῳ προσετίθεντο*, se rangèrent à son avis.
13. *Γαΐου Καίσαρος*, Jules César.
14. Il avait alors 37 ans.
15. *Τὸν ἄνδρα*, Cicéron.
16. *Περιιδεῖν*, sous-entendu *Κικέρωνα* (sujet de cet infinitif).
17. *Ἐκεῖνοι*, *les conjurés*. Voici une paraphrase des paroles de Plutarque, lequel ne s'est exprimé ici ni avec simplicité ni avec une parfaite clarté: ***Μᾶλλον ἂν οἱ συνωμόται συσσωθεῖεν Καίσαρι σωθέντι διὰ τοὺς φίλους ἢ κολασθέντι συγκολασθεῖεν.*** Amyot: «Il estoit tout apparent que si l'on mettoit Caesar au nombre des accusez, il seroit plus tost cause de leur faire sauver la vie à eulx, que eulx de la faire perdre à luy.»

Ch. XXI.] 1. *Ἐπεὶ ἡ γνώμη περιῆλθεν εἰς αὐτόν*, mot à mot: «Lorsque l'avis en faisant le tour vint à lui;» quand son tour vint de dire son avis.»

2. «Les sénateurs parlaient de leur place, en se tenant debout. Il n'y avait pas de tribune dans le sénat.»

3. Comparez le discours que Salluste (51) met dans la bouche de César.

4. Salluste: «*Placet igitur eos dimitti et augeri exercitum Catilinae? Minime. Sed ita censeo: publicandas eorum pecunias, ipsos in vinculis habendos per municipia, quae maxime opibus valent.*» Mais César ajoutait: «*Neu quis de eis postea ad senatum referat, neve cum populo agat,*» ce qui était

Οὔσης δὲ τῆς γνώμης ἐπιεικοῦς(5) *καὶ τοῦ λέγοντος εἰπεῖν δυνατωτάτου, ῥοπὴν ὁ Κικέρων προσέθηκεν οὐ μικράν. Αὐτὸς γὰρ ἀναστὰς ἐνεχείρησεν εἰς ἑκάτερον*(6), *τὰ μὲν τῇ προτέρᾳ, τὰ δὲ τῇ γνώμῃ Καίσαρος συνειπών, οἵ τε φίλοι πάντες οἰόμενοι τῷ Κικέρωνι λυσιτελεῖν τὴν Καίσαρος γνώμην (ἧττον γὰρ ἐν αἰτίαις ἔσεσθαι μὴ θανατώσαντα τοὺς ἄνδρας) ᾑροῦντο τὴν δευτέραν μᾶλλον, ὥστε καὶ τὸν Σιλανὸν αὖθις μεταβαλλόμενον παραιτεῖσθαι*(7) *καὶ λέγειν ὡς οὐδ' αὐτὸς εἴποι θανατικὴν γνώμην· ἐσχάτην γὰρ ἀνδρὶ βουλευτῇ Ῥωμαίων δίκην εἶναι τὸ δεσμωτήριον*(8).

Εἰρημένης δὲ τῆς γνώμης, πρῶτος ἀντέκρουσεν αὐτῇ Κάτλος Λουτάτιος(9)*· εἶτα διαδεξάμενος*(10) *Κάτων*(11), *καὶ τῷ λόγῳ σφοδρῶς συνεπερείσας ἐπὶ τὸν Καίσαρα τὴν ὑπόνοιαν, ἐνέπλησε θυμοῦ καὶ φρονήματος τὴν σύγκλητον, ὥστε θάνατον καταψηφίσασθαι τῶν ἀνδρῶν*(12).

Περὶ δὲ δημεύσεως χρημάτων ἐνίστατο(13) *Καῖσαρ, οὐκ ἀξιῶν τὰ φιλάνθρωπα τῆς ἑαυτοῦ γνώμης ἐκβαλόντας ἑνὶ χρήσασθαι τῷ σκυθρωποτάτῳ. Βιαζομένων δὲ πολλῶν*(14), *ἐπεκαλεῖτο τοὺς δη-*

---

demander la détention *à perpétuité.* (Cf. Cicéron, *IVe Catilin.*, v, 10: AETERNIS *tenebris vinculisque mandare.*) Plutarque a mal compris.

5. Cicéron qualifie César, dans la *IVe Catilinaire* (v, 10), à propos de l'avis qu'il ouvrit dans cette circonstance, de «*homo mitissimus atque lenissimus.*»

6. «*Ἐνεχείρησεν* a ici le sens de *ἐπεχείρησε*, terme de rhétorique, plus usité sous la forme de substantif, *ἐπιχείρημα* et *ἐπιχείρησις*. La traduction littérale serait: «il manœuvra vers l'un et l'autre des deux côtés,» il arrangea son discours de manière à tenir la balance entre les deux avis opposés . . . Plutarque ne fait pas assez entendre que Cicéron, tout en balançant l'opinion de César et de Silanus, laisse voir clairement qu'il préfère la seconde.» Le discours de Cicéron dont il s'agit ici, c'est notre *IVe Catilinaire.*

7. *Παραιτεῖσθαι*, s'excuser (de revenir sur son avis).

8. Voici ce que dit Salluste (50) de Silanus: «*D. Junius Silanus, primus sententiam rogatus quod eo tempore consul designatus erat, de eis supplicium sumendum decreverat: isque postea, permotus oratione C. Caesaris, pedibus in sententiam* Tiberi Neronis *iturum se dixerat*, qui de ea re praesidiis additis referundum censuerat.»

9. Q. Lutatius Catulus *Capitolinus*, dont le surnom vient de ce qu'il reconstruisit le Capitole (brûlé l'an 83 av. J.-C.).

10. *Διαδεξάμενος*, comme en latin *excipiens sermonem.*

11. Caton *d'Utique*. Voy. le discours que lui fait prononcer Salluste (52).

12. *Τῶν ἀνδρῶν*, et de nouveau, au commencement du chapitre suivant, *τοὺς ἄνδρας, les conjurés.*

13. «*Ἐνίστασθαι* signifie, non pas *in*sister, mais *ré*sister.»

14. *Βιαζομένων πολλῶν*, «mais pource que le plus grand nombre le gagnoit et l'emportoit contre luy.» (Amyot.)

μάρχους. Οἱ δ' οὐχ ὑπήκουον, ἀλλὰ Κικέρων αὐτὸς ἐνδοὺς ἀνῆκε τὴν περὶ δημεύσεως γνώμην.

CHAPITRE XXII.

Ἐχώρει δὲ μετὰ τῆς βουλῆς ἐπὶ τοὺς ἄνδρας. Οὐκ ἐν ταὐτῷ δὲ πάντες ἦσαν, ἄλλος δ' ἄλλον ἐφύλαττε τῶν στρατηγῶν(1). *Καὶ πρῶτον ἐκ Παλατίου παραλαβὼν τὸν Λέντλον*(2) *ἦγε διὰ τῆς Ἱερᾶς ὁδοῦ*(3) *καὶ τῆς ἀγορᾶς μέσης, τῶν μὲν ἡγεμονικωτάτων ἀνδρῶν κύκλῳ περιεσπειραμένων καὶ δορυφορούντων, τοῦ δὲ δήμου φρίττοντος τὰ δρώμενα καὶ παριέντος*(4) *σιωπῇ, μάλιστα δὲ τῶν νέων, ὥσπερ ἱεροῖς τισι πατρίοις ἀριστοκρατικῆς τινος ἐξουσίας τελεῖσθαι μετὰ φόβου καὶ θάμβους δοκούντων*(5). *Διελθὼν δὲ τὴν ἀγορὰν καὶ γενόμενος πρὸς τῷ δεσμωτηρίῳ*(6), *παρέδωκε τὸν Λέντλον τῷ δημίῳ καὶ προσέταξεν ἀνελεῖν· εἶθ' ἑξῆς τὸν Κέθηγον, καὶ οὕτω τῶν ἄλλων ἕκαστον καταγαγὼν ἀπέκτεινεν*(7). *Ὁρῶν δὲ πολλοὺς ἔτι τῶν ἀπὸ τῆς συνωμοσίας*(8) *ἐν ἀγορᾷ*

Ch. XXII.] 1. Voy. la note 6 du chap. XIX.

2. Il paraît par ce passage que Lentulus Spinther, chez qui était gardé Lentulus, habitait le Palatin. (Sur ce quartier de Rome, voy. la note 10 du ch. VIII.

3. *Τῆς Ἱερᾶς ὁδοῦ* « Le nom de la voie Sacrée rappelle les plus grands souvenirs de Rome. On l'avait donné, dit-on, à cette rue, à cause des cérémonies religieuses dont, à certains jours, elle était le théâtre . . . C'est par là que les triomphes allaient au Capitole. » On la voit encore aujourd'hui sous l'arc de Titus; elle aboutissait, après avoir traversé le Forum, au pied du Capitole et venait passer là entre le temple de Saturne et celui de Vespasien. (Boissier, *Promenades archéologiques*, chap. I, § 2.)

4. *Παριέντος*, *laissant faire*, comme s'il y avait *ἐῶντος, μηδ' ἐμποδὼν γιγνομένου τοῖς πραττομένοις.*

5. *Τῶν νεῶν . . . τελεῖσθαι . . . δοκούντων.* Il semblait aux jeunes gens qu'on était à les initier à de certains mystères nationaux. — *Μετὰ φόβου καὶ θάμβους* tombent, non sur *δοκούντων*, mais sur *τελεῖσθαι*. Dans les mystères d'Éleusis, par exemple, on éprouvait les initiés par des spectacles effrayants. — Le génitif *ἀριστοκρατικῆς τινος ἐξουσίας*, qui dépend de *ἱεροῖς τισι πατρίοις*, veut sans doute dire « mystères *célébrés par* une sorte de puissance aristocratique. » Amyot rend cela par « mystère joué de puissance absolue par les plus gros personnages de la ville. » Plutarque ne s'est pas exprimé ici dans un style clair.

6. *Τῷ δεσμωτηρίῳ*, le *carcer Tullianus* (consultez un plan de Rome antique). Cette prison était située presque en face de l'endroit où débouchait la voie Sacrée, sur le bas de la pente du Capitole, un peu au-dessous du temple de la Concorde (cf. la note 1 du chap. XIX).

7. *Ἀπέκτεινεν*, c'est-à-dire: les *fit* mettre à mort. Nous disons de même: *j'ai bâti*, pour: *j'ai fait bâtir une maison.*

8. *Τῶν ἀπὸ τῆς συνωμοσίας*, de ceux *qui faisaient partie* de la conjuration.

συνεστῶτας ἀθρόους καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπαγῆναι, φθεγξάμενος μέγα πρὸς αὐτούς, «Ἔζησαν(9)*» εἶπεν. Οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι τὸ τεθνάναι σημαίνουσιν.*

Ἤδη δ' ἦν ἑσπέρα, καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς τὴν οἰκίαν(10)*, οὐκέτι σιωπῇ*(11) *τῶν πολιτῶν οὐδὲ τάξει προπεμπόντων αὐτόν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων, καθ' οὓς γένοιτο*(12)*, σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. Τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωπούς*(13)*, λαμπάδια καὶ δᾷδας ἱστάντων*(14) *ἐπὶ ταῖς θύραις. Αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὔφαινον*(15) *ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρός, ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος· ὧν οἱ πλεῖστοι, πολέμους τε κατεργασάμενοι μεγάλους καὶ διὰ θριάμβων εἰσεληλακότες καὶ προσεκτημένοι*(16) *γῆν καὶ θάλατταν οὐκ ὀλίγην, ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας ἑνὶ μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐτοῦ*(17) *κίνδυνον. Οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα*(18) *καὶ κολάσαι τοὺς πράττοντας ἐδόκει θαυμαστόν, ἀλλ' ὅτι μέγιστον τῶν πώποτε νεωτερισμῶν οὗτος ἐλαχίστοις κακοῖς, ἄνευ στάσεως καὶ ταραχῆς, κατέσβεσε. Καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνερρυηκότων πρὸς αὐτόν, ἅμα τῷ*

---

9. *Ἔζησαν, vixerunt.*
10. Reportez-vous à la note 10 du chap. VII.
11. Cf. *παριέντος σιωπῇ* vers le commencement de ce chapitre.
12. *Καθ' οὓς γένοιτο*, à l'optatif, à cause des imparfaits qui sont contenus dans les participes *προπεμπόντων, δεχομένων, ἀνακαλούντων*. C'est comme s'il y avait, p. ex.: *Κρότοις αὐτὸν ἐδέχοντο οἱ πολῖται καθ' οὓς γένοιτο, ceux de ses concitoyens auprès de qui*, ou *dans le quartier de qui il passait*. (On aurait au présent: *Κρότοις αὐτὸν δέχονται οἱ πολῖται καθ' οὓς ἂν γένηται.*)
13. *Τοὺς στενωπούς*, les rues.
14. *Ἱστάντων* (*πολιτῶν*, si l'on veut, sous-entendu), génitif absolu, *les habitants mettant, dressant.*
15. *Ἐκ τῶν τεγῶν προὔφαινον*, « esclairoient du plus hault des maisons. » Les illuminations, comme expression de la joie publique, sont, comme on voit, un antique usage.
16. *Προσεκτημένοι, ayant conquis.* Mot à mot: ayant ajouté par conquête (sous-entendu: à l'empire romain).
17. *Αὐτοῦ κίνδυνον*, danger *du peuple romain*, c'est-à-dire: danger *que le peuple courait.*
18. *Τὸ κωλῦσαι τὰ πραττόμενα*, « d'avoir empesché que l'entreprise des conjurez ne sortist à effect. » (Amyot.)

πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον, ἐγκαταλιπόντες ᾤχοντο· καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον, αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον(19).

CHAPITRE XXIII.

Οὐ μὴν ἀλλὰ καὶ ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς(1), *ἔχοντες ἡγεμόνας, τῶν εἰς τὸ μέλλον ἀρχόντων*(2), *Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. Οἳ τὴν ἀρχὴν παραλαβόντες, ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἔχοντος*(3), *οὐκ εἴων δημηγορεῖν αὐτόν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων*(4) *βάθρα θέντες οὐ παρίεσαν οὐδ' ἐπέτρεπον λέγειν, ἀλλ' ἐκέλευον*(5), *εἰ βούλοιτο, μόνον περὶ τῆς ἀρχῆς ἀπομόσαντα, καταβαίνειν. Κἀκεῖνος ἐπὶ τούτοις*(6) *ὡς ὀμόσων*(7) *προῆλθε· καί, γενομένης αὐτῷ σιωπῆς, ἀπώμνυεν οὐ τὸν πάτριον, ἀλλ' ἴδιόν τινα καὶ καινὸν ὅρκον, ἦ μὴν*(8) *σεσωκέναι*

---

19. *Τὸ στρατόπεδον*, traduisez: *son* armée. — Voy. le récit de ces évènements dans les six derniers chapitres de l'ouvrage de Salluste. Catilina fut défait et tué à la bataille de Pistoria, le 5 janvier 62.

Ch. XXIII.] 1. *Οὐ μὴν ἀλλὰ καὶ ἦσαν οἱ.* « Ce néantmoins encore y en avoit-il qui » (Amyot) — *παρεσκευασμένοι καὶ λέγειν* (s.-ent. *κακῶς*) *καὶ ποιεῖν κακῶς τὸν Κικέρωνα*, étaient prêts à dire du mal de Cicéron et à lui en faire — *ἐπὶ τούτοις*, « pour ce faict », pour ce qui venait d'avoir lieu.

2. *Ἔχοντες ἡγεμόνας*, « ayant pour leurs chefs, » — *τῶν εἰς τὸ μέλλον ἀρχόντων*, *parmi ceux* qui étaient désignés comme magistrats pour l'année suivante.

3. *Ἔτι ἡμέρας ὀλίγας ἔχοντος*, alors que Cicéron avait encore quelques jours (à exercer les fonctions de consul). — Plutarque, ici, encore, rapporte les choses un peu inexactement. Les préteurs, comme les consuls, entraient en charge le 1er janvier: quant à César, il prit ses fonctions juste en même temps que Cicéron quittait les siennes. L'exercice de la magistrature des tribuns commençait, au contraire, dans les premiers jours du mois de décembre. Lorsque Cicéron, le 29 décembre, se démit de sa charge, L. Calpurnius Bestia n'était plus tribun: ce fut Q. Metellus Nepos seul, alors nouvellement investi des fonctions de tribun, qui s'opposa à ce qu'il fît un discours au peuple.

4. *Τῶν ἐμβόλων*, « la tribune des harengues [sic] que l'on appeloit à Rome *Rostra*. » (Amyot.)

5. *Ἀλλ' ἐκέλευον*, mais lui dirent *de monter à la tribune*, — *εἰ βούλοιτο καταβαίνειν*, s'il consentait à descendre, — *μόνον . . . ἀπομόσαντα*, après avoir simplement prêté son serment de consul sortant de charge (il s'agissait de jurer, selon l'usage, *se nihil contra leges fecisse*).

6. *Ἐπὶ τούτοις*, « soubz ceste condition ».

7. *Ὀμόσω* forme de mauvaise grécité, pour *ὀμοῦμαι*.

8. *Ἦ μήν*. « Ces deux conjonctions suivies de l'infinitif annoncent une affirmation par serment. »

τὴν πατρίδα καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. Ἐπώμνυε δὲ τὸν ὅρκον αὐτῷ σύμπας ὁ δῆμος(9).

Ἐφ' οἷς ἔτι μᾶλλον ὅ τε Καῖσαρ οἵ τε δήμαρχοι χαλεπαίνοντες, ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο, καὶ νόμος ὑπ' αὐτῶν εἰσήγετο καλεῖν Πομπήϊον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλύσοντα τὴν Κικέρωνος δυναστείαν. Ἀλλ' ἦν ὄφελος μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημαρχῶν τότε Κάτων καὶ τοῖς ἐκείνων πολιτεύμασιν ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος δὲ δόξης ἀντιτασσόμενος(10). *Τά τε γὰρ ἄλλα ῥᾳδίως ἔλυσε, καὶ τὴν Κικέρωνος δυναστείαν*(11) *οὕτως ἦρε τῷ λόγῳ δημηγορήσας, ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι*(12) *καὶ προσαγορεῦσαι Πατέρα πατρίδος. Πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦθ' ὑπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος*(13).

CHAPITRE XXIV.

Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε, πολλοῖς δ' ἐπίφθονον ἑαυτὸν ἐποίησεν ἀπ' οὐδενὸς ἔργου πονηροῦ, τῷ δ' ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραινόμενος. Οὔτε γὰρ βουλὴν οὔτε δῆμον οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλούμενον ἀκοῦσαι καὶ Λέντλον. Ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων(1)· *καὶ τὸν λόγον, ἥδιστον ὄντα καὶ χάριν ἔχοντα*

---

9 Cicéron (*contre Pison*, III, § 6-7) raconte la même scène dans les termes suivants: « *Ego quum in contione, abiens magistratu, dicere a tribuno plebis prohiberer quae constitueram, quumque is mihi tantum modo ut jurarem permitteret, sine ulla dubitatione juravi rem publicam atque hanc urbem mea unius opera esse salvam. Mihi populus Romanus universus illa in contione non unius diei gratulationem, sed aeternitatem immortalitatemque donavit, quum meum jusjurandum tale atque tantum juratus ipse una voce et consensu approbavit. Quo quidem tempore is meus domum fuit e foro reditus, ut nemo, nisi qui mecum esset, civium esse in numero videretur.* »

10 *Ἀπ' ἴσης ἐξουσίας ἀντιτασσόμενος*, « s'opposant à leurs menées, avec pareille puissance que la leur, » etc. (Amyot.)

11 *Δυναστείαν*. Caton relève fièrement le mot (voy. quatre lignes plus haut).

12 *Ψηφίσασθαι, προσαγορεῦσαι*, fit voter, fit nommer par le peuple. Ordinairement, *ψηφίζεσθαι, voter*, se dit du peuple; mais Plutarque emploie souvent cette expression en parlant d'un magistrat qui *fait* voter une loi par le peuple. Cf. la note 3 du ch. XXIX.

13 Cela se passa donc dans le peuple. D'autre part, Cicéron dit (*contre Pison*, III, § 6): « Me Q. Catulus . . . frequentissimo senatu *Parentem patriae* nominavit. » — Bien connu est le vers de Juvénal: *Roma parentem, Roma patrem patriae Ciceronem libera dixit.*

Ch. XXIV. 1. *Τὰ βιβλία, ses* livres; *τῶν ἐγκωμίων*, de *son propre* éloge;

πλείστην, ἐπαχθῆ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς(2) αὐτῷ τῆς ἀηδίας ταύτης προσούσης.

Ὅμως δέ, καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνών, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος(3) ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ' αὐτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν(4) ἔστι. Πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον, περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος(5)· καί, περὶ τῶν Πλάτωνος διαλόγων, ὡς τοῦ Διός, εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου(6). Τὸν δὲ Θεόφραστον εἰώθει τρυφὴν ἰδίαν(7) ἀποκαλεῖν. Περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθείς, τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μέγιστον(8) εἶπε. Καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν ἐπιφύονται(9) φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας, ἐνιαχοῦ τῶν λόγων ὑπονυστάζειν τὸν Δημοσθένη(10)·

---

de même ensuite *τὸν λόγον*, *son* style. L'article grec prend souvent ainsi la force du possessif.

2. *Κῆρος*. Amyot: «Car il falloit tousjours que cette facherie y fust attachée comme un malheur feé [= fée], qui lui ostait toute sa bonne grace.» (Ce dernier membre de phrase est ajouté par Amyot pour parfaire sa phrase et insister sur l'idée.).

3. *Ἀφθονώτατος*, *très abondant*. Amyot: «Ains estoit *fort liberal* à louer les hommes excellents.»

4. *Λαβεῖν*, tirer de. «Comme l'on peult veoir par ses escripts.» (Amyot.) Cf. *Vie de Démosthène*, n. 2 du ch. XII et n. 11 du ch. XIV.

5. *Académiques* (II, chap. XXXVIII, § 119): «*Flumen orationis aureum fundens Aristoteles.*» *Ὅτι*, *qu'il disait* (sous-entendu) que.

6. *Ὡς . . . διαλεγομένου*. Ce génitif absolu commandé par *ὡς* est une locution très voisine de l'accusatif absolu avec *ὡς*, qui est expliqué ci-dessus à la note 12 du ch. III. «On rapporte (*ἀπομνημονεύουσι*) beaucoup de paroles de Cicéron (*πολλὰ αὐτοῦ*), par exemple (*οἷον*), à propos des dialogues de Platon (*περὶ τῶν κτλ.*), *comme* Jupiter, s'il parle, parlant ainsi,» pour dire: «*qu'il disait que* Jupiter, s'il parle, *parle* ainsi.» (Comparez aussi l'exemple interprété à la note 15 du chap. III — «S'il parle *grec*,» lit-on chez Cicéron. Voy. *Brutus*, XXXI, 121: «*Quis enim uberior in dicendo Platone? Jovem sic, aiunt philosophi, si graece loquatur, loqui; quis Aristotele nervosior, Theophrasto dulcior?*»

7. *Τρυφὴν ἰδίαν*, ses délices à lui.

8. *Τὸν δὲ Θεόφραστον κτλ. περὶ δὲ τῶν Δημοσθένους λόγων κτλ.* On ne saurait dire aujourd'hui où Plutarque aura puisé ces deux *mots* de Cicéron. Pour ce qui est du dernier, un contemporain de Plutarque, Pline le Jeune, l'appliqua à Cicéron lui-même: «Gracchis et Catoni Pollionem, Caesarem, Caelium, in primis M. Tullium oppono, *cujus oratio optima fertur esse quae maxima.*»

9. *Ἐπιφύονται*, s'attachent à . . . . (Cf. *Vie de Démosthène*, note 10 du ch. XIV.

10. Nous n'avons plus la lettre où Cicéron a dit cela. Comparez d'ailleurs Quintilien (XII, 1, 22): « . . . . quanquam neque ipsi Ciceroni Demosthenes videatur satis esse perfectus, *quem dormitare interim* dicit.» Et le même (X, 1, 24): « . . . . cum Ciceroni *dormitare interim Demosthenes*,

τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων, οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρός, καὶ ὅτι περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τοὺς κατ' Ἀντωνίου, Φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσι (11).

Τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ φιλοσοφίας οὐκ ἐποίησεν ἐνδοξότερον ἢ τι λέγων ἢ γράφων εὐμενῶς περὶ ἑκάστου. Κρατίππῳ δὲ τῷ περιπατητικῷ διεπράξατο μὲν Ῥωμαίῳ γενέσθαι (12) *παρὰ Καίσαρος ἄρχοντος ἤδη, διεπράξατο δὲ καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι δεηθῆναι μένειν αὐτὸν* (13) *ἐν Ἀθήναις καὶ διαλέγεσθαι τοῖς νέοις ὡς κοσμοῦντα τὴν πόλιν. ἐπιστολαὶ δὲ περὶ τούτων Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην* (14), *ἕτεραι δὲ πρὸς τὸν υἱόν, ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν δὲ τὸν ῥητορικὸν αἰτιώμενος πρὸς ἡδονὰς προάγειν καὶ πότους τὸ μειράκιον, ἀπελαύνει τῆς συνουσίας αὐτοῦ* (15).

Καὶ σχεδὸν αὕτη γε τῶν Ἑλληνικῶν μία, καὶ δευτέρα πρὸς Πέλοπα τὸν Βυζάντιον, ἐν ὀργῇ τινι γέγραπται (16), *τὸν μὲν Γορ-*

Horatio vero etiam Homerus ipse videatur.» (Allusion, en dernier lieu, au *Quandoque bonus dormitat Homerus* d'Horace.)

11. *Τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων οἷς, ... ἀμνημονοῦσι.* Amyot: «Et cependant ilz oublient à dire les grandes et merveilleuses louanges qu'il luy donne ailleurs, et qu'il appella les oraisons qu'il escrivit contre Antonius, es quelles il employa plus de peine et plus d'estude qu'en nulles autres, Philippiques, à *l'imitation de celles que Demosthenes escrivit contre Philippus, roy de Macedoine.*» Amyot a conservé la construction du grec où le verbe *ἀμνημονοῦσι* gouverne: 1° un régime substantif (*τῶν ἐπαινῶν*), 2° une phrase subordonnée (*καὶ ὅτι κτλ.*): on ne le ferait plus en français d'aujourd'hui.

12. *Ῥωμαίῳ γενέσθαι*, être fait citoyen romain.

13. *Διεπράξατο δὲ καὶ . . . . αὐτόν*, il fit que le Sénat de l'Aréopage vota qu'on le prierait de rester.

14. Ces lettres, écrites par Cicéron à l'Athénien Hérode, précepteur de son fils à Athènes, au sujet du décret à faire rendre par l'aréopage en faveur de Cratippe, sont perdues, ainsi que celles dont il est ensuite question, de Cicéron à son fils, pour l'engager à suivre les leçons du même Cratippe. Dans une lettre de Trebonius, envoyée d'Athènes à Cicéron au mois de mai 44 av. J.-C., on lit (*Ad famil.*, XII, XVI, 2): «*Illud quoque erit nobis curae ut Cratippus una cum filio tuo sit.*»

15. Voici ce qu'on lit dans une lettre de Cicéron le jeune à Tiron, le secrétaire de son père (*Ad famil.*, XVI, XXI, 3 et 6), d'abord au sujet de Cratippe: «*Cratippo me scito non ut discipulum, sed ut filium esse conjunctissimum . . . Sum totos dies cum eo noctisque saepenumero partem; exoro enim ut mecum quam saepissime cenet*, etc.;» puis, de Gorgias: «*De Gorgia autem quod mihi scribis, erat quidem ille in quotidiana declamatione utilis, sed omnia postposui dummodo praeceptis patris parerem, διαρρήδην enim scripserat ut eum dimitterem statim*, etc.» Il faut bien prendre garde de confondre ce «rhétoricien» Gorgias (comme l'appelle Amyot) avec le célèbre rhéteur sicilien du même nom, qui vint à Athènes au temps de Socrate.

16. *Καὶ σχεδὸν αὕτη . . . γέγραπται.* Amyot: «Il n'y a entre ses epistres

γίαν αὐτοῦ προσηκόντως ἐπικόπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀλάστορος, ὡς ἐδόκει. πρὸς δὲ τὸν Πείσωνα [illegible] (V) καὶ μεμψιμοιροῦντος ὥσπερ [illegible] τινος αὐτῷ καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέσθαι [illegible].

CHAPITRE XX[illegible]

Ταῦτά τε δὴ φιλ[illegible] τῇ δεινότητι [illegible]

[illegible]

[illegible]

[illegible]

καὶ λέγοντος «Τί δ' ἂν ἐγὼ παθὼν τοῦτ' εἶπον;» «Ἤιδεις» ἔφη «Ῥωμαίους ἡδέως ἀκουσομένους καὶ διὰ τοῦτ'(9) ἐδημαγώγεις.»

Ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωϊκοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, «Ὅρα, μὴ μᾶλλον» εἶπεν «ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι(10).» Διεβάλλετο δ' εἰς φιλαργυρίαν ὁ Κράσσος.

Ἐπεὶ δὲ τοῦ Κράσσου τῶν παίδων ὁ ἕτερος, Ἀξίῳ τινὶ δοκῶν ὅμοιος εἶναι καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ Ἀξίῳ διαβολήν, εὐδοκίμησε λόγον ἐν βουλῇ διελθών, ἐρωτηθεὶς ὁ Κικέρων, τί φαίνεται αὐτῷ, «Ἄξιος» εἶπε «Κράσσου».

CHAPITRE XXVI.

Μέλλων δ' ὁ Κράσσος εἰς Συρίαν ἀπαίρειν(1) ἐβούλετο τὸν Κικέρωνα φίλον αὐτῷ μᾶλλον ἢ ἐχθρὸν εἶναι· καὶ φιλοφρονούμενος ἔφη βούλεσθαι δειπνῆσαι παρ' αὐτῷ· κἀκεῖνος ὑπεδέξατο προθύμως(2). Ὀλίγαις δ' ὕστερον ἡμέραις περὶ Βατινίου (3) φίλων τινῶν ἐντυγχανόντων ὡς μνωμένου διαλύσεις καὶ φιλίαν (ἦν γὰρ ἐχθρός), «Οὐ δήπου καὶ Βατίνιος» εἶπε «δειπνῆσαι παρ' ἐμοὶ βούλεται;»

Πρὸς μὲν οὖν Κράσσον τοιοῦτος· αὐτὸν δὲ τὸν Βατίνιον, ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ καὶ λέγοντα δίκην, «οἰδῶντα ῥήτορα» προσεῖπεν. Ἀκούσας δ' ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς ὅτι ζῇ· «Κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος (4).»

Ἐπεὶ δὲ Καίσαρι, ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν κατανεμηθῆναι τοῖς στρατιώταις, πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ, Λεύκιος δὲ Γέλλιος, ὁμοῦ τι(5) πρεσβύτατος ὤν, εἶπεν ὡς οὐ

---

9. *Διὰ τοῦτο*, par le moyen de cela, de cette parole; en disant cela.

10. *Ὅρα .... λέγουσιν εἶναι*. Amyot: «Regarde que *ce* ne *soit* plus tost pour ce qu'ilz disent que tout est au sage.»

Ch. XXVI.] 1. Après son consulat de l'année 55, où il avait eu Pompée pour collègue.

2. Cicéron (*Ad familiares*, I, IX, 20): «*Crassus, ut quasi testata populo Romano esset nostra gratia, paene a meis Laribus in provinciam est profectus: nam, quum mihi condixisset, cenavit apud me in mei generi Crassipedis hortis.*»

3. *Βατινίου*. C'est le même Vatinius dont le nom se trouve transcrit *Οὐατίνιος* au chapitre IX.

4. *Κακὸς τοίνυν .... ὁ ψευσάμενος*. Amyot: «Male mort, dit-il, viene à celuy qui a si mal menty.»

5. *Ὁμοῦ τι, à peu près.*

γενήσεται τοῦτο ζῶντος αὐτοῦ, « Περιμείνωμεν. » ὁ Κικέρων ἔφη « μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν. »

Ἦν δέ τις Ὀκταούϊος αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι· πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἐξακούειν « Καὶ μὴν οὐκ ἔχεις » εἶπε « τὸ οὖς ἀτρύπητον ».(6)

Μετέλλου δὲ Νέπωτος εἰπόντος ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν(7) ἢ συνηγορῶν σέσωκεν, « Ὁμολογῶ γάρ » ἔφη « πίστεως ἐν ἐμοὶ πλέον ἢ δεινότητος εἶναι. »

Νεανίσκου δέ τινος, αἰτίαν ἔχοντος ἐν πλακοῦντι φάρμακον τῷ πατρὶ δεδωκέναι, θρασυνομένου καὶ λέγοντος ὅτι λοιδορήσει τὸν Κικέρωνα, « Τοῦτο » ἔφη « παρὰ σοῦ βούλομαι μᾶλλον ἢ πλακοῦντα. »

Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν(8) ἔν τινι δίκῃ μεθ' ἑτέρων παραλαβόντος, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν(9) καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν, ἤδη τῆς ψήφου φερομένης· « Χρῶ σήμερον » ἔφη « τῷ καιρῷ, Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι(10). »

Πόπλιον δὲ Κώνσταν(11) νομικὸν εἶναι βουλόμενον(12), ὄντα δ' ἀφυῆ καὶ ἀμαθῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. Τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος, « Ἴσως » ἔφη « δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι(13). »

Μετέλλου δὲ Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος « Τίς σοὶ πατήρ ἐστιν, ὦ Κικέρων; » « Σοὶ ταύτην » ἔφη « τὴν ἀπόκρισιν ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν. » Ἐδόκει δ' ἀκόλαστος γ'

---

6. Ce mot est cité chez Macrobe (*Saturnales*, VII, III, 7) comme exemple de *scomma* ou plaisanterie: « Octavius, qui natu nobilis videbatur, Ciceroni recitanti ait: *Non audio quae dicis.* Ille respondit: *Certe solebas bene foratas auras habere.* Hoc eo dictum quia Octavius Libys oriundus dicebatur, quibus mos est aurem forare. »

7. Le sujet est Cicéron.

8. « Nous avons encore un plaidoyer de Cicéron pour P. Sextius ou Sestius, tribun du peuple, accusé *de vi* (pour violences exercées dans son tribunat, en faveur de Cicéron). C'était, à ce qu'il paraît, un parleur de peu de goût; Cicéron dit, au sujet d'une rédaction faite par lui: *Nihil unquam legi scriptum σηστιωδέστερον.* »

9. *Αὐτοῦ δὲ . . . . λέγειν.* Amyot: « Mais neantmoins il vouloit luy mesme (αὐτοῦ) toujours parler. »

10. Le sens de cette plaisanterie ne paraît pas bien facile à saisir.

11. « D'autres textes portent *Κότταν*, d'autres encore *Κάστον*, *Κάσσιον*, *Κόϊντον*, de sorte qu'on ne sait de qui il est question ici. »

12. *Νομικὸν εἶναι βουλόμενον.* Qui « vouloit estre tenu pour sçavant homme en droit. » (Amyot.)

13. *Ἴσως δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι.* Amyot : « Tu penses, à l'adventure, que lon te demande du droit. »

μήτηρ εἶναι τοῦ Νέπωτος. Αὐτὸς δέ τις εὐμετάβολος (14)· *καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω, πρὸς Πομπήϊον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον· θάψας δὲ Φίλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον, ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον* (15)· *καὶ ὁ Κικέρων « Τοῦτ' » ἔφη « σοφώτατον ἐποίησας· πέτεσθαι γάρ σε μᾶλλον ἢ λέγειν ἐδίδαξεν. »*

Ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν (16) *καὶ λογιότητα καὶ πίστιν, « Εἶθ' οὕτως » ἔφη « σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ᾐτήσατο φίλῳ παρασχεῖν; »*

CHAPITRE XXVII.

Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ πρὸς ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις δοκεῖ ῥητορικὸν εἶναι (1)· *τὸ δ' οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου* (2) *πολὺ συνῆγε μῖσος αὐτῷ. Γράψω δὲ καὶ τούτων ὀλίγα.*

Μάρκον Ἀκύλλιον (3), *ἔχοντα δύο γαμβροὺς φυγάδας, Ἄδραστον* (4) *ἐκάλει.*

Λευκίου δὲ Κόττα τὴν τιμητικὴν ἔχοντος ἀρχὴν (5), *φιλοινοτά-*

---

14. Sous-entendu *ἐδόκει εἶναι.*

15. C'était sans doute une façon de dire que Philagre avait été un *Corax*: le célèbre Syracusain Corax passait pour avoir inventé la rhétorique. — Dans les *Apophthegmes*, où cette anecdote est aussi relatée, le maître est appelé, au lieu de Philagre, Diodote.

16. *Φίλον . . . . ἐπιμέλειαν.* « Que son amy l'avoit bien instamment requis et prié d'employer en son procès toute diligence, etc. » (Amyot).

Ch. XXVII.] 1. *Δοκεῖ ῥητορικὸν εἶναι.* Amyot: « C'est une partie de bon orateur. » Il y a dans le second livre du *De Oratore* de Cicéron un long développement sur l'esprit et son emploi dans l'art oratoire. Cela commence au chap. LIV (§ 216), par les mots: « *Suavis autem est et vehementer saepe utilis jocus et facetiae.* » Lisez surtout à partir du ch. LVIII (§ 236): « ***Est plane oratoris movere risum**, vel quod ipsa hilaritas benevolentiam conciliat ei per quem excitata est, vel quod admirantur omnes acumen, uno saepe in verbo positum.* » etc.

2. Ce membre de phrase entier *τὸ . . . γελοίου* est le sujet de *συνῆγε.* « Mais d'en picquer indifferemment tout le monde pour faire rire les assistans, » traduit Amyot. — *Οἷς ἔτυχε*, ceux que cela se trouve. — Cicéron dit lui-même dans une lettre à Pætus (*Ad famil.*, IX, XVI, 3): « *Effugere autem si velim nonnullorum acute aut facete dictorum famam, fama ingenii mihi esset abjicienda: quod si possem, non recusarem.* »

3. En latin *M. Aquilium.*

4. *Ἄδραστον.* « Adraste, roi d'Argos, avait marié ses deux filles à Tydée et à Polynice, tous deux bannis de leur patrie. »

5. *Τὴν τιμητικὴν ἀρχήν*, la censure.

του δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, «Ὀρθῶς φοβεῖσθε» εἶπε «μή μοι γένηται χαλεπὸς ὁ τιμητὴς ὅτι ὕδωρ πίνω.»

Βωκωνίῳ(6) δ' ἀπαντήσας ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας ἀνεφθέγξατο

«Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα(7).»

Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος, «Μὴ θαυμάζετε·» εἶπε «καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων(8).»

Ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα, τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος, ἐν δανείοις γενόμενος καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας ἀπάρτιον προέγραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν(9) ἀρέσκειν ἢ τὴν πατρῴαν.

CHAPITRE XXVIII.

Ἐκ δὲ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ἦν Κλώδιος ἀνὴρ εὐγενής(1), τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. Οὗτος, ἐρῶν Πομπηΐας τῆς Καίσαρος γυναικός, εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα, λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας· ἔθυον(2) γὰρ ἐν τῇ Καίσαρος οἰκίᾳ τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν αἱ γυναῖκες, καὶ παρῆν ἀνὴρ οὐδείς· ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηΐαν μετὰ τῶν γυναικῶν.

---

6. En latin, *Voconius*.

7. Ce vers, tiré on ne sait de quel auteur, semble bien faire allusion au roi de Thèbes Laïus. Φοίβου οὐκ ἐῶντος, «contre l'oracle rendu par Apollon.»

8. Le sens premier et ordinaire du verbe ἀναφωνεῖν est «dire ou lire à haute et intelligible voix». Le même mot s'employait dans l'expression courante ἐλευθερίαν ἀναφωνεῖ (en parlant d'un esclave), *il réclame sa liberté*. Le mot de Cicéron était, comme on voit, à double entente.

9. Προγραφή et, en latin, *proscriptio* veulent dire proprement «publication par affiche». La *proscriptio* de Faustus, c'était simplement l'affichage de la vente de ses biens: on sait ce que fut la *proscriptio* de son père.

Ch. XXVIII.] 1. Voy. note 4 du ch. XXXIV.

2. Sur cette cérémonie annuelle en l'honneur de la Bonne Déesse, voy le chapitre XIX.

συνεστῶτας ἀθρόους καὶ τὴν μὲν πρᾶξιν ἀγνοοῦντας, τὴν δὲ νύκτα προσμένοντας, ὡς ἔτι ζώντων τῶν ἀνδρῶν καὶ δυναμένων ἐξαρπαγῆναι, φθεγξάμενος μέγα πρὸς αὐτούς, «Ἔζησαν(9)» εἶπεν. Οὕτω δὲ Ῥωμαίων οἱ δυσφημεῖν μὴ βουλόμενοι τὸ τεθνάναι σημαίνουσιν.

Ἤδη δ' ἦν ἑσπέρα, καὶ δι' ἀγορᾶς ἀνέβαινεν εἰς τὴν οἰκίαν(10), οὐκέτι σιωπῇ(11) τῶν πολιτῶν οὐδὲ τάξει προπεμπόντων αὐτόν, ἀλλὰ φωναῖς καὶ κρότοις δεχομένων, καθ' οὓς γένοιτο(12), σωτῆρα καὶ κτίστην ἀνακαλούντων τῆς πατρίδος. Τὰ δὲ φῶτα πολλὰ κατέλαμπε τοὺς στενωπούς(13), λαμπάδια καὶ δᾶδας ἱστάντων(14) ἐπὶ ταῖς θύραις. Αἱ δὲ γυναῖκες ἐκ τῶν τεγῶν προὔφαινον(15) ἐπὶ τιμῇ καὶ θέᾳ τοῦ ἀνδρός, ὑπὸ πομπῇ τῶν ἀρίστων μάλα σεμνῶς ἀνιόντος· ὧν οἱ πλεῖστοι, πολέμους τε κατεργασάμενοι μεγάλους καὶ διὰ θριάμβων εἰσεληλακότες καὶ προσεκτημένοι(16) γῆν καὶ θάλατταν οὐκ ὀλίγην, ἐβάδιζον ἀνομολογούμενοι πρὸς ἀλλήλους, πολλοῖς μὲν τῶν τότε ἡγεμόνων καὶ στρατηγῶν πλούτου καὶ λαφύρων καὶ δυνάμεως χάριν ὀφείλειν τὸν Ῥωμαίων δῆμον, ἀσφαλείας δὲ καὶ σωτηρίας ἑνὶ μόνῳ Κικέρωνι, τηλικοῦτον ἀφελόντι καὶ τοσοῦτον αὐτοῦ(17) κίνδυνον. Οὐ γὰρ τὸ κωλῦσαι τὰ πραττόμενα(18) καὶ κολάσαι τοὺς πράττοντας ἐδόκει θαυμαστόν, ἀλλ' ὅτι μέγιστον τῶν πώποτε νεωτερισμῶν οὗτος ἐλαχίστοις κακοῖς, ἄνευ στάσεως καὶ ταραχῆς, κατέσβεσε. Καὶ γὰρ τὸν Κατιλίναν οἱ πλεῖστοι τῶν συνερρυηκότων πρὸς αὐτόν, ἅμα τῷ

---

9. *Ἔζησαν, vixerunt.*

10. Reportez-vous à la note 10 du chap. VII.

11. Cf. *παριέντος σιωπῇ* vers le commencement de ce chapitre.

12. *Καθ' οὓς γένοιτο*, à l'optatif, à cause des imparfaits qui sont contenus dans les participes *προπεμπόντων, δεχομένων, ἀνακαλούντων*. C'est comme s'il y avait, p. ex.: *Κρότοις αὐτὸν ἐδέχοντο οἱ πολῖται καθ' οὓς γένοιτο, ceux de ses concitoyens auprès de qui*, ou *dans le quartier de qui il passait.* (On aurait au présent: *Κρότοις αὐτὸν δέχονται οἱ πολῖται καθ' οὓς ἂν γένηται.*)

13. *Τοὺς στενωπούς*, les rues.

14. *Ἱστάντων* (*πολιτῶν*, si l'on veut, sous-entendu), génitif absolu, *les habitants mettant, dressant.*

15. *Ἐκ τῶν τεγῶν προὔφαινον*, « esclairoient du plus hault des maisons. » Les illuminations, comme expression de la joie publique, sont, comme on voit, un antique usage.

16. *Προσεκτημένοι, ayant conquis.* Mot à mot: ayant ajouté par conquête (sous-entendu: à l'empire romain).

17. *Αὐτοῦ κίνδυνον*, danger *du peuple romain*, c'est-à-dire: danger *que le peuple courait.*

18. *Τὸ κωλῦσαι τὰ πραττόμενα*, « d'avoir empesché que l'entreprise des conjurez ne sortist à effect. » (Amyot.)

πυθέσθαι τὰ περὶ Λέντλον καὶ Κέθηγον, ἐγκαταλιπόντες ᾤχοντο· καὶ μετὰ τῶν συμμεμενηκότων αὐτῷ διαγωνισάμενος πρὸς Ἀντώνιον, αὐτός τε διεφθάρη καὶ τὸ στρατόπεδον(19).

CHAPITRE XXIII.

Οὐ μὴν ἀλλὰ καὶ ἦσαν οἱ τὸν Κικέρωνα παρεσκευασμένοι καὶ λέγειν ἐπὶ τούτοις καὶ ποιεῖν κακῶς(1), *ἔχοντες ἡγεμόνας, τῶν εἰς τὸ μέλλον ἀρχόντων*(2), *Καίσαρα μὲν στρατηγοῦντα, Μέτελλον δὲ καὶ Βηστίαν δημαρχοῦντας. Οἳ τὴν ἀρχὴν παραλαβόντες, ἔτι τοῦ Κικέρωνος ἡμέρας ὀλίγας ἔχοντος*(3), *οὐκ εἴων δημηγορεῖν αὐτόν, ἀλλ' ὑπὲρ τῶν ἐμβόλων*(4) *βάθρα θέντες οὐ παρίεσαν οὐδ' ἐπέτρεπον λέγειν, ἀλλ' ἐκέλευον*(5), *εἰ βούλοιτο, μόνον περὶ τῆς ἀρχῆς ἀπομόσαντα, καταβαίνειν. Κἀκεῖνος ἐπὶ τούτοις*(6) *ὡς ὀμόσων*(7) *προῆλθε· καί, γενομένης αὐτῷ σιωπῆς, ἀπώμνυεν οὐ τὸν πάτριον, ἀλλ' ἴδιόν τινα καὶ καινὸν ὅρκον, ἦ μὴν*(8) *σεσωκέναι*

---

19. *Τὸ στρατόπεδον*, traduisez: *son* armée. — Voy. le récit de ces évènements dans les six derniers chapitres de l'ouvrage de Salluste. Catilina fut défait et tué à la bataille de Pistoria, le 5 janvier 62.

Ch. XXIII.] 1. *Οὐ μὴν ἀλλὰ καὶ ἦσαν οἱ.* « Ce néantmoins encore y en avoit-il qui » (Amyot) — *παρεσκευασμένοι καὶ λέγειν* (s.-ent. *κακῶς*) *καὶ ποιεῖν κακῶς τὸν Κικέρωνα*, étaient prêts à dire du mal de Cicéron et à lui en faire — *ἐπὶ τούτοις*, « pour ce faict », pour ce qui venait d'avoir lieu.

2. *Ἔχοντες ἡγεμόνας*, « ayant pour leurs chefs, » — *τῶν εἰς τὸ μέλλον ἀρχόντων*, *parmi ceux* qui étaient désignés comme magistrats pour l'année suivante.

3. *Ἔτι ἡμέρας ὀλίγας ἔχοντος*, alors que Cicéron avait encore quelques jours (à exercer les fonctions de consul). — Plutarque, ici, encore, rapporte les choses un peu inexactement. Les préteurs, comme les consuls, entraient en charge le 1er janvier: quant à César, il prit ses fonctions juste en même temps que Cicéron quittait les siennes. L'exercice de la magistrature des tribuns commençait, au contraire, dans les premiers jours du mois de décembre. Lorsque Cicéron, le 29 décembre, se démit de sa charge, L. Calpurnius Bestia n'était plus tribun: ce fut Q. Metellus Nepos seul, alors nouvellement investi des fonctions de tribun, qui s'opposa à ce qu'il fît un discours au peuple.

4. *Τῶν ἐμβόλων*, « la tribune des harengues [sic] que l'on appeloit à Rome *Rostra.* » (Amyot.)

5. *Ἀλλ' ἐκέλευον*, mais lui dirent *de monter à la tribune*, — *εἰ βούλοιτο καταβαίνειν*, s'il consentait à descendre, — *μόνον . . . ἀπομόσαντα*, après avoir simplement prêté son serment de consul sortant de charge (il s'agissait de jurer, selon l'usage, *se nihil contra leges fecisse*).

6. *Ἐπὶ τούτοις*, « soubz ceste condition ».

7. *Ὀμόσω* forme de mauvaise grécité, pour *ὀμοῦμαι*.

8. *Ἦ μήν*. « Ces deux conjonctions suivies de l'infinitif annoncent une affirmation par serment. »

τὴν πατρίδα καὶ διατετηρηκέναι τὴν ἡγεμονίαν. Ἐπώμνυε δὲ τὸν ὅρκον αὐτῷ σύμπας ὁ δῆμος (9).

Ἐφ' οἷς ἔτι μᾶλλον ὅ τε Καῖσαρ οἵ τε δήμαρχοι χαλεπαίνοντες, ἄλλας τε τῷ Κικέρωνι ταραχὰς ἐμηχανῶντο, καὶ νόμος ὑπ' αὐτῶν εἰσήγετο καλεῖν Πομπήϊον μετὰ τῆς στρατιᾶς, ὡς δὴ καταλύσοντα τὴν Κικέρωνος δυναστείαν. Ἀλλ' ἦν ὄφελος μέγα τῷ Κικέρωνι καὶ πάσῃ τῇ πόλει δημαρχῶν τότε Κάτων καὶ τοῖς ἐκείνων πολιτεύμασιν ἀπ' ἴσης μὲν ἐξουσίας, μείζονος δὲ δόξης ἀντιτασσόμενος (10). Τά τε γὰρ ἄλλα ῥᾳδίως ἔλυσε, καὶ τὴν Κικέρωνος δυναστείαν (11) οὕτως ἦρε τῷ λόγῳ δημηγορήσας, ὥστε τιμὰς αὐτῷ τῶν πώποτε μεγίστας ψηφίσασθαι (12) καὶ προσαγορεῦσαι Πατέρα πατρίδος. Πρώτῳ γὰρ ἐκείνῳ δοκεῖ τοῦθ' ὑπάρξαι, Κάτωνος αὐτὸν οὕτως ἐν τῷ δήμῳ προσαγορεύσαντος (13).

CHAPITRE XXIV.

Καὶ μέγιστον μὲν ἴσχυσεν ἐν τῇ πόλει τότε, πολλοῖς δ' ἐπίφθονον ἑαυτὸν ἐποίησεν ἀπ' οὐδενὸς ἔργου πονηροῦ, τῷ δ' ἐπαινεῖν ἀεὶ καὶ μεγαλύνειν αὐτὸς ἑαυτὸν ὑπὸ πολλῶν δυσχεραινόμενος. Οὔτε γὰρ βουλὴν οὔτε δῆμον οὔτε δικαστήριον ἦν συνελθεῖν, ἐν ᾧ μὴ Κατιλίναν ἔδει θρυλούμενον ἀκοῦσαι καὶ Λέντλον. Ἀλλὰ καὶ τὰ βιβλία τελευτῶν κατέπλησε καὶ τὰ συγγράμματα τῶν ἐγκωμίων (1)· καὶ τὸν λόγον, ἥδιστον ὄντα καὶ χάριν ἔχοντα

---

9. Cicéron (*contre Pison*, III, § 6-7) raconte la même scène dans les termes suivants: « *Ego quum in contione, abiens magistratu, dicere a tribuno plebis prohiberer quae constitueram, quumque is mihi tantum modo ut jurarem permitteret, sine ulla dubitatione juravi rem publicam atque hanc urbem mea unius opera esse salvam. Mihi populus Romanus universus illa in contione non unius diei gratulationem, sed aeternitatem immortalitatemque donavit, quum meum jusjurandum tale atque tantum juratus ipse una voce et consensu approbavit. Quo quidem tempore is meus domum fuit e foro reditus, ut nemo, nisi qui mecum esset, civium esse in numero videretur.* »

10. Ἀπ' ἴσης ἐξουσίας ἀντιτασσόμενος, « s'opposant à leurs menées, avec pareille puissance que la leur, » etc. (Amyot.)

11. Δυναστείαν. Caton relève fièrement le mot (voy. quatre lignes plus haut).

12. Ψηφίσασθαι, προσαγορεῦσαι, fit voter, fit nommer par le peuple. Ordinairement, ψηφίζεσθαι, *voter*, se dit du peuple; mais Plutarque emploie souvent cette expression en parlant d'un magistrat qui *fait* voter une loi par le peuple. Cf. la note 3 du ch. XXIX.

13. Cela se passa donc dans le peuple. D'autre part, Cicéron dit (*contre Pison*, III, § 6): « Me Q. Catulus . . . frequentissimo senatu *Parentem patriae* nominavit. » — Bien connu est le vers de Juvénal: *Roma parentem* | *Roma patrem patriae Ciceronem libera dixit*.

Ch. XXIV. 1. Τὰ βιβλία, *ses* livres; τῶν ἐγκωμίων, de *son propre* éloge;

πλείστην, ἐπαχθὴ καὶ φορτικὸν ἐποίησε τοῖς ἀκροωμένοις, ὥσπερ τινὸς ἀεὶ κηρὸς(2) *αὐτῷ τῆς ἀηδίας ταύτης προσούσης.*

Ὅμως δέ, καίπερ οὕτως ἀκράτῳ φιλοτιμίᾳ συνών, ἀπήλλακτο τοῦ φθονεῖν ἑτέροις, ἀφθονώτατος(3) *ὢν ἐν τῷ τοὺς πρὸ αὐτοῦ καὶ τοὺς καθ' αὐτὸν ἄνδρας ἐγκωμιάζειν, ὡς ἐκ τῶν συγγραμμάτων λαβεῖν*(4) *ἔστι. Πολλὰ δ' αὐτοῦ καὶ ἀπομνημονεύουσιν· οἷον, περὶ Ἀριστοτέλους, ὅτι χρυσίου ποταμὸς εἴη ῥέοντος*(5)*· καί, περὶ τῶν Πλάτωνος διαλόγων, ὡς τοῦ Διός, εἰ λόγῳ χρῆσθαι πέφυκεν, οὕτω διαλεγομένου*(6). *Τὸν δὲ Θεόφραστον εἰώθει τρυφὴν ἰδίαν*(7) *ἀποκαλεῖν. Περὶ δὲ τῶν Δημοσθένους λόγων ἐρωτηθείς, τίνα δοκοίη κάλλιστον εἶναι, τὸν μέγιστον*(8) *εἶπε. Καίτοι τινὲς τῶν προσποιουμένων δημοσθενίζειν ἐπιφύονται*(9) *φωνῇ τοῦ Κικέρωνος, ἣν πρός τινα τῶν ἑταίρων ἔθηκεν ἐν ἐπιστολῇ γράψας, ἐνιαχοῦ τῶν λόγων ὑπονυστάζειν τὸν Δημοσθένη*(10)*·*

---

de même ensuite *τὸν λόγον*, *son* style. L'article grec prend souvent ainsi la force du possessif.

2. *Κηρος*. Amyot: «Car il falloit tousjours que cette facherie y fust attachée comme un malheur feé [= fée], qui lui ostait toute sa bonne grace.» (Ce dernier membre de phrase est ajouté par Amyot pour parfaire sa phrase et insister sur l'idée.).

3. *Ἀφθονώτατος, très abondant.* Amyot: «Ains estoit *fort liberal* à louer les hommes excellents.»

4. *Λαβεῖν*, tirer de. «Comme l'on peult veoir par ses escripts.» (Amyot.) Cf. *Vie de Démosthène*, n. 2 du ch. XII et n. 11 du ch. XIV.

5. *Académiques* (II, chap. XXXVIII, § 119): «*Flumen orationis aureum fundens Aristoteles.*» *Ὅτι, qu'il disait* (sous-entendu) que.

6. *Ὡς . . . διαλεγομένου.* Ce génitif absolu commandé par *ὡς* est une locution très voisine de l'accusatif absolu avec *ὡς*, qui est expliqué ci-dessus à la note 12 du ch. III. «On rapporte (*ἀπομνημονεύουσι*) beaucoup de paroles de Cicéron (*πολλὰ αὐτοῦ*), par exemple (*οἷον*), à propos des dialogues de Platon (*περὶ τῶν κτλ.*), *comme* Jupiter, s'il parle, parlant ainsi,» pour dire: «*qu'il disait que* Jupiter, s'il parle, *parle* ainsi.» (Comparez aussi l'exemple interprété à la note 15 du chap. III — «S'il parle *grec*,» lit-on chez Cicéron. Voy. *Brutus*, XXXI, 121: «*Quis enim uberior in dicendo Platone? Jovem sic, aiunt philosophi, si graece loquatur, loqui; quis Aristotele nervosior, Theophrasto dulcior?*»

7. *Τρυφὴν ἰδίαν*, ses délices à lui.

8. *Τὸν δὲ Θεόφραστον κτλ. περὶ δὲ τῶν Δημοσθένους λόγων κτλ.* On ne saurait dire aujourd'hui où Plutarque aura puisé ces deux *mots* de Cicéron. Pour ce qui est du dernier, un contemporain de Plutarque, Pline le Jeune, l'appliqua à Cicéron lui-même: «Gracchis et Catoni Pollionem, Caesarem, Caelium, in primis M. Tullium oppono, *cujus oratio optima fertur esse quae maxima.*»

9. *Ἐπιφύονται*, s'attachent à . . . . (Cf. *Vie de Démosthène*, note 10 du ch. XIV.

10. Nous n'avons plus la lettre où Cicéron a dit cela. Comparez d'ailleurs Quintilien (XII, 1, 22): « . . . . quanquam neque ipsi Ciceroni Demosthenes videatur satis esse perfectus, *quem dormitare interim dicit.*» Et le même (X, 1, 24): « . . . . cum Ciceroni *dormitare interim Demosthenes,*

τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων, οἷς πολλαχοῦ χρῆται περὶ τοῦ ἀνδρός, καὶ ὅτι περὶ οὓς μάλιστα τῶν ἰδίων ἐσπούδασε λόγων, τοὺς κατ' Ἀντωνίου, Φιλιππικοὺς ἐπέγραψεν, ἀμνημονοῦσι (11).

Τῶν δὲ κατ' αὐτὸν ἐνδόξων ἀπὸ λόγου καὶ φιλοσοφίας οὐκ ἐποίησεν ἐνδοξότερον ἢ τι λέγων ἢ γράφων εὐμενῶς περὶ ἑκάστου. Κρατίππῳ δὲ τῷ περιπατητικῷ διεπράξατο μὲν Ῥωμαίῳ γενέσθαι (12) *παρὰ Καίσαρος ἄρχοντος ἤδη, διεπράξατο δὲ καὶ τὴν ἐξ Ἀρείου πάγου βουλὴν ψηφίσασθαι δεηθῆναι μένειν αὐτὸν* (13) *ἐν Ἀθήναις καὶ διαλέγεσθαι τοῖς νέοις ὡς κοσμοῦντα τὴν πόλιν. ἐπιστολαὶ δὲ περὶ τούτων Κικέρωνος εἰσὶ πρὸς Ἡρώδην* (14), *ἕτεραι δὲ πρὸς τὸν υἱόν, ἐγκελευομένου συμφιλοσοφεῖν Κρατίππῳ. Γοργίαν δὲ τὸν ῥητορικὸν αἰτιώμενος πρὸς ἡδονὰς προάγειν καὶ πότους τὸ μειράκιον, ἀπελαύνει τῆς συνουσίας αὐτοῦ* (15).

Καὶ σχεδὸν αὕτη γε τῶν Ἑλληνικῶν μία, καὶ δευτέρα πρὸς Πέλοπα τὸν Βυζάντιον, ἐν ὀργῇ τινι γέγραπται (16), *τὸν μὲν Γορ-*

Horatio vero etiam Homerus ipse videatur.» (Allusion, en dernier lieu, au *Quandoque bonus dormitat Homerus* d'Horace.)

11. *Τῶν δὲ μεγάλων καὶ θαυμαστῶν ἐπαίνων οἷς, ... ἀμνημονοῦσι.* Amyot: «Et cependant ilz oublient à dire les grandes et merveilleuses louanges qu'il luy donne ailleurs, et qu'il appella les oraisons qu'il escrivit contre Antonius, es quelles il employa plus de peine et plus d'estude qu'en nulles autres, Philippiques, à *l'imitation de celles que Demosthenes escrivit contre Philippus, roy de Macedoine.*» Amyot a conservé la construction du grec où le verbe *ἀμνημονοῦσι* gouverne: 1° un régime substantif (*τῶν ἐπαινῶν*), 2° une phrase subordonnée (*καὶ ὅτι κτλ.*): on ne le ferait plus en français d'aujourd'hui.

12. *Ῥωμαίῳ γενέσθαι*, être fait citoyen romain.

13. *Διεπράξατο δὲ καὶ . . . . αὐτόν*, il fit que le Sénat de l'Aréopage vota qu'on le prierait de rester.

14. Ces lettres, écrites par Cicéron à l'Athénien Hérode, précepteur de son fils à Athènes, au sujet du décret à faire rendre par l'aréopage en faveur de Cratippe, sont perdues, ainsi que celles dont il est ensuite question, de Cicéron à son fils, pour l'engager à suivre les leçons du même Cratippe. Dans une lettre de Trebonius, envoyée d'Athènes à Cicéron au mois de mai 44 av. J.-C., on lit (*Ad famil.*, XII, XVI, 2): «*Illud quoque erit nobis curae ut Cratippus una cum filio tuo sit.*»

15. Voici ce qu'on lit dans une lettre de Cicéron le jeune à Tiron, le secrétaire de son père (*Ad famil.*, XVI, XXI, 3 et 6), d'abord au sujet de Cratippe: «*Cratippo me scito non ut discipulum, sed ut filium esse conjunctissimum . . . Sum totos dies cum eo noctisque saepenumero partem; exoro enim ut mecum quam saepissime cenet*, etc.:» puis, de Gorgias: «*De Gorgia autem quod mihi scribis, erat quidem ille in quotidiana declamatione utilis, sed omnia postposui dummodo praeceptis patris parerem, διαρρήδην enim scripserat ut eum dimitterem statim*, etc.» Il faut bien prendre garde de confondre ce «rhétoricien» Gorgias (comme l'appelle Amyot) avec le célèbre rhéteur sicilien du même nom, qui vint à Athènes au temps de Socrate.

16. *Καὶ σχεδὸν αὕτη . . . γέγραπται.* Amyot: «Il n'y a entre ses epistres

γίαν αὐτοῦ προσηκόντως ἐπικόπτοντος, εἴπερ ἦν φαῦλος καὶ ἀκόλαστος, ὡς ἐδόκει, πρὸς δὲ τὸν Πέλοπα μικρολογουμένου(17) *καὶ μεμψιμοιροῦντος ὥσπερ ἀμελήσαντα τιμὰς αὐτῷ καὶ ψηφίσματα παρὰ Βυζαντίων γενέσθαι*(18).

CHAPITRE XXV.

Ταῦτά τε δὴ φιλότιμα, καὶ τὸ πολλάκις ἐπαιρόμενον τοῦ λόγου τῇ δεινότητι τὸ πρέπον προΐεσθαι(1). *Μουνατίῳ*(2) *μὲν γάρ ποτε συνηγορήσας, ὡς ἀποφυγὼν τὴν δίκην ἐκεῖνος ἐδίωκεν ἑταῖρον αὐτοῦ*(3) *Σαβῖνον, οὕτω λέγεται προπεσεῖν*(4) *ὑπ' ὀργῆς ὁ Κικέρων, ὥστ' εἰπεῖν· « Σὺ γὰρ ἐκείνην, ὦ Μουνάτιε, τὴν δίκην ἀπέφυγες διὰ σεαυτόν, οὐκ ἐμοῦ πολὺ σκότος ἐν φωτὶ τῷ δικαστηρίῳ περιχέαντος*(5)*; »*

Μάρκον δὲ Κράσσον(6) *ἐγκωμιάζων ἀπὸ τοῦ βήματος*(7) *εὐημέρησε, καὶ μεθ' ἡμέρας αὖθις ὀλίγας λοιδορῶν αὐτόν, ὡς ἐκεῖνος εἶπεν « Οὐ γὰρ ἐνταῦθα πρώην αὐτὸς ἡμᾶς ἐπῄνεις; » « Ναί, » φησι « μελέτης ἕνεκεν γυμνάζων τὸν λόγον εἰς φαύλην ὑπόθεσιν*(8)*. »*

Εἰπόντος δέ ποτε τοῦ Κράσσου μηδένα Κράσσον ἐν Ῥώμῃ βεβιωκέναι μακρότερον ἑξηκονταετίας, εἶθ' ὕστερον ἀρνουμένου

---

grecques que celle là seule qui soit escritte en cholere, et une autre qu'il escrit à Pelops Byzantin.» Ce Pélops est un personnage d'ailleurs inconnu.

17. *Πρός τινα μικρολογεῖσθαι*, chicaner quelqu'un sur des misères.

18. *Καὶ μεμψιμοιροῦντος . . . γενέσθαι.* Amyot : «Se plaignant de luy de ce qu'il n'avoit tenu compte de proclamer envers les Byzantins qu'ils feissent quelques ordonnances publiques à son honneur et à sa gloire.» (Amyot lisait *τιμάς τινας αὐτῷ.*)

Ch. XXV.] 1. «Cela (*ταῦτα*, cette lettre à Pélops de Byzance) procedoit de sa trop grande ambition» (*φιλότιμα*, s.-ent. *ἦν*), ainsi que ceci . . . (*ταῦτα τε . . . καὶ τὸ* —) A partir d'ici construisez : *τὸ προΐεσθαι πολλάκις τὸ πρέπον, ἐπαιρόμενον* (étant enlevé, orgueilleux, lui Cicéron) *τῇ δεινότητι τοῦ λόγου.*

2. «Peut être T. Munatius Plancus Bursa. qui, tribun du peuple en 52, se montra l'ami de Clodius et l'ennemi de Cicéron, et fut condamné plus tard, sur l'accusation de Cicéron, pour faits de violence.»

3. *Ἐκεῖνος*, Munatius. — *Αὐτοῦ*, de Cicéron.

4. *Προπεσεῖν, longius justo processum esse*, s'être laissé emporter.

5. «Cicéron employa la même figure dans une autre occasion. «*Cicero* (dit Quintilien, II, 17) *se tenebras offudisse in causa Cluentii gloriatus est.*»

6. M. Licinius Crassus, qui fut plus tard triumvir.

7. *Βήματος*, la tribune aux harangues dans le Forum.

8. *Μελέτης ἕνεκεν . . . . εἰς φαύλην ὑπόθεσιν* Amyot : «Pour plus exercer mon éloquence, j'avois pris un mauvais subject à louer.»

καὶ λέγοντος «Τί δ' ἂν ἐγὼ παθὼν τοῦτ' εἶπον;» «Ἤιδεις» ἔφη «Ῥωμαίους ἡδέως ἀκουσομένους καὶ διὰ τοῦτ' (9) ἐδημαγώγεις.»

Ἀρέσκεσθαι δὲ τοῦ Κράσσου τοῖς Στωϊκοῖς φήσαντος, ὅτι πλούσιον εἶναι τὸν ἀγαθὸν ἀποφαίνουσιν, «Ὅρα, μὴ μᾶλλον» εἶπεν «ὅτι πάντα τοῦ σοφοῦ λέγουσιν εἶναι (10).» Διεβάλλετο δ' εἰς φιλαργυρίαν ὁ Κράσσος.

Ἐπεὶ δὲ τοῦ Κράσσου τῶν παίδων ὁ ἕτερος, Ἀξίῳ τινὶ δοκῶν ὅμοιος εἶναι καὶ διὰ τοῦτο τῇ μητρὶ προστριβόμενος αἰσχρὰν ἐπὶ τῷ Ἀξίῳ διαβολήν, εὐδοκίμησε λόγον ἐν βουλῇ διελθών, ἐρωτηθεὶς ὁ Κικέρων, τί φαίνεται αὐτῷ, «Ἄξιος» εἶπε «Κράσσου».

CHAPITRE XXVI.

Μέλλων δ' ὁ Κράσσος εἰς Συρίαν ἀπαίρειν (1) ἐβούλετο τὸν Κικέρωνα φίλον αὐτῷ μᾶλλον ἢ ἐχθρὸν εἶναι· καὶ φιλοφρονούμενος ἔφη βούλεσθαι δειπνῆσαι παρ' αὐτῷ· κἀκεῖνος ὑπεδέξατο προθύμως (2). Ὀλίγαις δ' ὕστερον ἡμέραις περὶ Βατινίου (3) φίλων τινῶν ἐντυγχανόντων ὡς μνωμένου διαλύσεις καὶ φιλίαν (ἦν γὰρ ἐχθρός), «Οὐ δήπου καὶ Βατίνιος» εἶπε «δειπνῆσαι παρ' ἐμοὶ βούλεται;»

Πρὸς μὲν οὖν Κράσσον τοιοῦτος· αὐτὸν δὲ τὸν Βατίνιον, ἔχοντα χοιράδας ἐν τῷ τραχήλῳ καὶ λέγοντα δίκην, «οἰδῶντα ῥήτορα» προσεῖπεν. Ἀκούσας δ' ὅτι τέθνηκεν, εἶτα μετὰ μικρὸν πυθόμενος σαφῶς ὅτι ζῇ· «Κακὸς τοίνυν ἀπόλοιτο κακῶς ὁ ψευσάμενος (4).»

Ἐπεὶ δὲ Καίσαρι, ψηφισαμένῳ τὴν ἐν Καμπανίᾳ χώραν κατανεμηθῆναι τοῖς στρατιώταις, πολλοὶ μὲν ἐδυσχέραινον ἐν τῇ βουλῇ, Λεύκιος δὲ Γέλλιος, ὁμοῦ τι (5) πρεσβύτατος ὤν, εἶπεν ὡς οὐ

---

9. Διὰ τοῦτο, par le moyen de cela, de cette parole; en disant cela.
10. Ὅρα . . . . λέγουσιν εἶναι. Amyot: «Regarde que *ce* ne *soit* plus tost pour ce qu'ilz disent que tout est au sage.»
Ch. XXVI.] 1. Après son consulat de l'année 55, où il avait eu Pompée pour collègue.
2. Cicéron (*Ad familiares*, I, IX, 20): «*Crassus, ut quasi testata populo Romano esset nostra gratia, paene a meis Laribus in provinciam est profectus: nam, quum mihi condixisset, cenavit apud me in mei generi Crassipedis hortis.*»
3. Βατινίου. C'est le même Vatinius dont le nom se trouve transcrit Οὐατίνιος au chapitre IX.
4. Κακὸς τοίνυν . . . . ὁ ψευσάμενος. Amyot: «Male mort, dit-il, viene à celuy qui a si mal menty.»
5. Ὁμοῦ τι, *à peu près.*

γενήσεται τοῦτο ζῶντος αὐτοῦ, «Περιμείνωμεν,» ὁ Κικέρων ἔφη «μακρὰν γὰρ οὐκ αἰτεῖται Γέλλιος ὑπέρθεσιν.»

Ἦν δέ τις Ὀκταούϊος αἰτίαν ἔχων ἐκ Λιβύης γεγονέναι· πρὸς τοῦτον ἔν τινι δίκῃ λέγοντα τοῦ Κικέρωνος μὴ ἐξακούειν «Καὶ μὴν οὐκ ἔχεις» εἶπε «τὸ οὖς ἀτρύπητον».(6)

Μετέλλου δὲ Νέπωτος εἰπόντος ὅτι πλείονας καταμαρτυρῶν ἀνῄρηκεν(7) ἢ συνηγορῶν σέσωκεν, «Ὁμολογῶ γάρ» ἔφη «πίστεως ἐν ἐμοὶ πλέον ἢ δεινότητος εἶναι.»

Νεανίσκου δέ τινος, αἰτίαν ἔχοντος ἐν πλακοῦντι φάρμακον τῷ πατρὶ δεδωκέναι, θρασυνομένου καὶ λέγοντος ὅτι λοιδορήσει τὸν Κικέρωνα, «Τοῦτο» ἔφη «παρὰ σοῦ βούλομαι μᾶλλον ἢ πλακοῦντα.»

Ποπλίου δὲ Σηστίου συνήγορον μὲν αὐτὸν(8) ἔν τινι δίκῃ μεθ' ἑτέρων παραλαβόντος, αὐτοῦ δὲ πάντα βουλομένου λέγειν(9) καὶ μηδενὶ παριέντος εἰπεῖν, ὡς δῆλος ἦν ἀφιέμενος ὑπὸ τῶν δικαστῶν, ἤδη τῆς ψήφου φερομένης· «Χρῶ σήμερον» ἔφη «τῷ καιρῷ, Σήστιε· μέλλεις γὰρ αὔριον ἰδιώτης εἶναι(10).»

Πόπλιον δὲ Κώνσταν(11) νομικὸν εἶναι βουλόμενον(12), ὄντα δ' ἀφυῆ καὶ ἀμαθῆ, πρός τινα δίκην ἐκάλεσε μάρτυρα. Τοῦ δὲ μηδὲν εἰδέναι φάσκοντος, «Ἴσως» ἔφη «δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι(13).»

Μετέλλου δὲ Νέπωτος ἐν διαφορᾷ τινι πολλάκις λέγοντος «Τίς σοὶ πατήρ ἐστιν, ὦ Κικέρων;» «Σοὶ ταύτην» ἔφη «τὴν ἀπόκρισιν ἡ μήτηρ χαλεπωτέραν ἐποίησεν.» Ἐδόκει δ' ἀκόλαστος γ'

---

6. Ce mot est cité chez Macrobe (*Saturnales*, VII, III, 7) comme exemple de *scomma* ou plaisanterie: «Octavius, qui natu nobilis videbatur, Ciceroni recitanti ait: *Non audio quae dicis.* Ille respondit: *Certe solebas bene foratas auras habere.* Hoc eo dictum quia Octavius Libys oriundus dicebatur, quibus mos est aurem forare.»

7. Le sujet est Cicéron.

8. «Nous avons encore un plaidoyer de Cicéron pour P. Sextius ou Sestius, tribun du peuple, accusé *de vi* (pour violences exercées dans son tribunat, en faveur de Cicéron). C'était, à ce qu'il paraît, un parleur de peu de goût; Cicéron dit, au sujet d'une rédaction faite par lui: *Nihil unquam legi scriptum σηστιωδέστερον.*»

9. *Αὐτοῦ δὲ . . . . λέγειν.* Amyot: «Mais neantmoins il vouloit luy mesme (*αὐτοῦ*) toujours parler.»

10. Le sens de cette plaisanterie ne paraît pas bien facile à saisir.

11. «D'autres textes portent *Κότταν*, d'autres encore *Κάστον, Κάσσιον, Κοΐντον*, de sorte qu'on ne sait de qui il est question ici.»

12. *Νομικὸν εἶναι βουλόμενον.* Qui «vouloit estre tenu pour sçavant homme en droit.» (Amyot.)

13. *Ἴσως δοκεῖς περὶ τῶν νομικῶν ἐρωτᾶσθαι.* Amyot: «Tu penses, à l'adventure, que lon te demande du droit.»

μήτηρ εἶναι τοῦ Νέπωτος. Αὐτὸς δέ τις εὐμετάβολος (14)· *καί ποτε τὴν δημαρχίαν ἀπολιπὼν ἄφνω, πρὸς Πομπήϊον ἐξέπλευσεν εἰς Συρίαν, εἶτ' ἐκεῖθεν ἐπανῆλθεν ἀλογώτερον· θάψας δὲ Φίλαγρον τὸν καθηγητὴν ἐπιμελέστερον, ἐπέστησεν αὐτοῦ τῷ τάφῳ κόρακα λίθινον* (15)· *καὶ ὁ Κικέρων «Τοῦτ'» ἔφη «σοφώτατον ἐποίησας· πέτεσθαι γάρ σε μᾶλλον ἢ λέγειν ἐδίδαξεν.»*

Ἐπεὶ δὲ Μάρκος Ἄππιος ἔν τινι δίκῃ προοιμιαζόμενος εἶπε φίλον αὐτοῦ δεδεῆσθαι παρασχεῖν ἐπιμέλειαν (16) *καὶ λογιότητα καὶ πίστιν, «Εἶθ' οὕτως» ἔφη «σιδηροῦς γέγονας ἄνθρωπος, ὥστε μηδὲν ἐκ τοσούτων ὧν ᾐτήσατο φίλῳ παρασχεῖν;»*

CHAPITRE XXVII.

Τὸ μὲν οὖν πρὸς ἐχθροὺς ἢ πρὸς ἀντιδίκους σκώμμασι χρῆσθαι πικροτέροις δοκεῖ ῥητορικὸν εἶναι (1)· *τὸ δ' οἷς ἔτυχε προσκρούειν ἕνεκα τοῦ γελοίου* (2) *πολὺ συνῆγε μῖσος αὐτῷ. Γράψω δὲ καὶ τούτων ὀλίγα.*

Μάρκον Ἀκύλλιον (3), *ἔχοντα δύο γαμβροὺς φυγάδας, Ἄδραστον* (4) *ἐκάλει.*

Λευκίου δὲ Κόττα τὴν τιμητικὴν ἔχοντος ἀρχήν (5), *φιλοινοτά-*

---

14. Sous-entendu *ἐδόκει εἶναι.*

15. C'était sans doute une façon de dire que Philagre avait été un *Corax*: le célèbre Syracusain Corax passait pour avoir inventé la rhétorique. — Dans les *Apophthegmes*, où cette anecdote est aussi relatée, le maître est appelé, au lieu de Philagre, Diodote.

16. *Φίλον . . . . ἐπιμέλειαν.* « Que son amy l'avoit bien instamment requis et prié d'employer en son procès toute diligence, etc. » (Amyot).

Ch. XXVII.] 1. *Δοκεῖ ῥητορικὸν εἶναι.* Amyot: « C'est une partie de bon orateur. » Il y a dans le second livre du *De Oratore* de Cicéron un long développement sur l'esprit et son emploi dans l'art oratoire. Cela commence au chap. LIV (§ 216). par les mots: « *Suavis autem est et vehementer saepe utilis jocus et facetiae.* » Lisez surtout à partir du ch. LVIII (§ 236): « *Est plane oratoris movere risum, vel quod ipsa hilaritas benevolentiam conciliat ei per quem excitata est, vel quod admirantur omnes acumen, uno saepe in verbo positum.* » etc.

2. Ce membre de phrase entier *τὸ . . . γελοίου* est le sujet de *συνῆγε.* « Mais d'en picquer indifferemment tout le monde pour faire rire les assistans, » traduit Amyot. — *Οἷς ἔτυχε*, ceux que cela se trouve. — Cicéron dit lui-même dans une lettre à Pætus (*Ad famil.*, IX, XVI, 3): « *Effugere autem si velim nonnullorum acute aut facete dictorum famam, fama ingenii mihi esset abjicienda: quod si possem, non recusarem.* »

3. En latin *M. Aquilium.*

4. *Ἄδραστον.* « Adraste, roi d'Argos, avait marié ses deux filles à Tydée et à Polynice, tous deux bannis de leur patrie. »

5. *Τὴν τιμητικὴν ἀρχήν*, la censure.

του δ' ὄντος, ὑπατείαν μετιὼν ὁ Κικέρων ἐδίψησε, καὶ τῶν φίλων κύκλῳ περιστάντων, ὡς ἔπινεν, «Ὀρθῶς φοβεῖσθε» εἶπε «μή μοι γένηται χαλεπὸς ὁ τιμητὴς ὅτι ὕδωρ πίνω.»

Βωκωνίῳ(6) *δ' ἀπαντήσας ἄγοντι μεθ' ἑαυτοῦ τρεῖς ἀμορφοτάτας θυγατέρας ἀνεφθέγξατο*

«Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα(7).»

Μάρκου δὲ Γελλίου δοκοῦντος οὐκ ἐξ ἐλευθέρων γεγονέναι, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ μεγάλῃ γράμματα πρὸς τὴν σύγκλητον ἐξαναγνόντος, «Μὴ θαυμάζετε·» εἶπε «καὶ αὐτὸς εἷς ἐστι τῶν ἀναπεφωνηκότων(8).»

Ἐπεὶ δὲ Φαῦστος ὁ Σύλλα, τοῦ μοναρχήσαντος ἐν Ῥώμῃ καὶ πολλοὺς ἐπὶ θανάτῳ προγράψαντος, ἐν δανείοις γενόμενος καὶ πολλὰ τῆς οὐσίας διασπαθήσας ἀπάρτιον προέγραψε, ταύτην ἔφη μᾶλλον αὐτῷ τὴν προγραφὴν(9) *ἀρέσκειν ἢ τὴν πατρῴαν.*

CHAPITRE XXVIII.

Ἐκ δὲ τούτων ἐγίνετο πολλοῖς ἐπαχθής· καὶ οἱ μετὰ Κλωδίου συνέστησαν ἐπ' αὐτὸν ἀρχὴν τοιαύτην λαβόντες. Ἦν Κλώδιος ἀνὴρ εὐγενής(1), *τῇ μὲν ἡλικίᾳ νέος, τῷ δὲ φρονήματι θρασὺς καὶ αὐθάδης. Οὗτος, ἐρῶν Πομπηΐας τῆς Καίσαρος γυναικός, εἰς τὴν οἰκίαν αὐτοῦ παρεισῆλθε κρύφα, λαβὼν ἐσθῆτα καὶ σκευὴν ψαλτρίας· ἔθυον*(2) *γὰρ ἐν τῇ Καίσαρος οἰκίᾳ τὴν ἀπόρρητον ἐκείνην καὶ ἀθέατον ἀνδράσι θυσίαν αἱ γυναῖκες, καὶ παρῆν ἀνὴρ οὐδείς· ἀλλὰ μειράκιον ὢν ἔτι καὶ μήπω γενειῶν ὁ Κλώδιος ἤλπιζε λήσεσθαι διαδὺς πρὸς τὴν Πομπηΐαν μετὰ τῶν γυναικῶν.*

---

6. En latin, *Voconius.*

7. Ce vers, tiré on ne sait de quel auteur, semble bien faire allusion au roi de Thèbes Laïus. *Φοίβου οὐκ ἐῶντος*, «contre l'oracle rendu par Apollon.»

8. Le sens premier et ordinaire du verbe *ἀναφωνεῖν* est «dire ou lire à haute et intelligible voix». Le même mot s'employait dans l'expression courante *ἐλευθερίαν ἀναφωνεῖ* (en parlant d'un esclave), *il réclame sa liberté.* Le mot de Cicéron était, comme on voit, à double entente.

9. *Προγραφή* et, en latin, *proscriptio* veulent dire proprement «publication par affiche». La *proscriptio* de Faustus, c'était simplement l'affichage de la vente de ses biens: on sait ce que fut la *proscriptio* de son père.

Ch. XXVIII.] 1. Voy. note 4 du ch. XXXIV.

2. Sur cette cérémonie annuelle en l'honneur de la Bonne Déesse, voy le chapitre XIX.

Ὡς δ' εἰσῆλθε νυκτὸς εἰς οἰκίαν μεγάλην, ἠπόρει τῶν διόδων(3)· καὶ πλανώμενον αὐτὸν ἰδοῦσα θεραπαινὶς Αὐρηλίας, τῆς Καίσαρος μητρός, ἤτησεν ὄνομα. Φθέγξασθαι δ' ἀναγκασθέντος αὐτοῦ καὶ φήσαντος ἀκόλουθον Πομπηΐας ζητεῖν Ἅβραν τοὔνομα, συνεῖσα τὴν φωνὴν οὐ γυναικὸς οὖσαν, ἀνέκραγε καὶ συνεκάλει τὰς γυναῖκας. Αἱ δ' ἀποκλείσασαι τὰς θύρας καὶ πάντα διερευνώμεναι λαμβάνουσι τὸν Κλώδιον εἰς οἴκημα παιδίσκης, ᾗ συνεισῆλθε, καταπεφευγότα. Τοῦ δὲ πράγματος περιβοήτου γενομένου, Καῖσαρ τότε τὴν Πομπηΐαν ἀφῆκε, καὶ δίκην τις τῶν δημάρχων ἀσεβείας ἐγράψατο τῷ Κλωδίῳ(4).

CHAPITRE XXIX.

Κικέρων δ' ἦν μὲν αὐτοῦ φίλος(1), καὶ τῶν περὶ Κατιλίναν πραττομένων ἐκέχρητο προθυμοτάτῳ συνεργῷ καὶ φύλακι τοῦ σώματος· ἰσχυριζομένου(2) δὲ πρὸς τὸ ἔγκλημα τῷ μηδὲ γεγονέναι κατ' ἐκεῖνον τὸν χρόνον ἐν Ῥώμῃ, ἀλλ' ἐν τοῖς πορρωτάτω χωρίοις διατρίβειν, κατεμαρτύρησεν ὡς(3) ἀφιγμένου τε πρὸς αὐτὸν οἴκαδε καὶ διειλεγμένου περί τινων· ὅπερ ἦν ἀληθές. Οὐ μὴν ἐδόκει μαρτυρεῖν ὁ Κικέρων διὰ τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὴν αὑτοῦ γυναῖκα Τερεντίαν ἀπολογούμενος(4). Ἦν γὰρ αὐτῇ πρὸς τὸν Κλώδιον ἀπέχθεια διὰ τὴν ἀδελφὴν τὴν ἐκείνου Κλωδίαν, ὡς τῷ Κικέρωνι βουλομένην(5) γαμηθῆναι καὶ τοῦτο διὰ

---

3. Ἠπόρει τῶν διόδων, comme s'il y avait ἐν ἀπορίᾳ ἦν τῶν διόδων, il ne savait pas où aller.

4. Sur ce passage, voyez ci-après l'Avis relatif à la constitution du texte. Plutarque ne semble pas être ici bien au courant de ce qui se passa. Clodius fut déféré par un senatus-consulte à un tribunal — qui, d'ailleurs, l'acquitta — son principal accusateur fut, non pas l'un des tribuns, mais L. Lentulus Crus (cf. Cicéron, *De haruspicum responso*, XVII, § 37).

Ch. XXIX. 1. [illegible] est peut-être beaucoup dire, bien que rien n'empêche qu'il ait pu exister entre [illegible] et [illegible] une liaison passagère. Quant à ce qui vient ensuite [illegible], ce n'est guère d'accord avec le témoignage de [illegible] — mais dans la suite [illegible] Clodius de partisan et [illegible] *De harusp. resp.*, 3).

2. [illegible] Κικέρων). — Ἀφιγ- [illegible]

3. [illegible] la note 12 du chap. III et la note 6 du [illegible]

4. [illegible] ne le faisoit pas tant [illegible] envers sa femme Te- [illegible]

5. [illegible]

Τύλλου τινὸς Ταραντίνου(6) *πράττουσαν, ὃς ἑταῖρος μὲν ἦν καὶ συνήθης ἐν τοῖς μάλιστα Κικέρωνος, ἀεὶ δὲ πρὸς τὴν Κλωδίαν φοιτῶν καὶ θεραπεύων ἐγγὺς οἰκοῦσαν ὑποψίαν τῇ Τερεντίᾳ παρέσχε. Χαλεπὴ δὲ τὸν τρόπον οὖσα καὶ τοῦ Κικέρωνος ἄρχουσα, παρώξυνε τῷ Κλωδίῳ συνεπιθέσθαι καὶ καταμαρτυρῆσαι.*

Κατεμαρτύρουν δὲ τοῦ Κλωδίου πολλοὶ τῶν καλῶν κἀγαθῶν ἀνδρῶν ἐπιορκίας, ῥᾳδιουργίας, ὄχλων δεκασμούς, φθορὰς γυναικῶν. Οὐ μὴν ἀλλὰ τότε τοῦ δήμου πρὸς τοὺς καταμαρτυροῦντας αὐτοῦ καὶ συνεστῶτας ἀντιπραττομένου, φοβηθέντες οἱ δικασταὶ φυλακὴν περιεστήσαντο(7), *καὶ τὰς δέλτους*(8) *οἱ πλεῖστοι συγκεχυμένοις τοῖς γράμμασιν ἤνεγκαν· ὅμως δὲ πλείονες ἔδοξαν οἱ ἀπολύοντες γενέσθαι*(9). *Καί τις ἐλέχθη καὶ δεκασμὸς διελθεῖν· ὅθεν ὁ μὲν Κάτλος ἀπαντήσας τοῖς δικασταῖς «Ὑμεῖς» εἶπεν «ὡς ἀληθῶς ὑπὲρ ἀσφαλείας ᾐτήσασθε τὴν φυλακήν, φοβούμενοι μή τις ὑμῶν ἀφέληται τὸ ἀργύριον*(10).»

---

6. *Τύλλου Ταραντίνου.* C'est peut-être de ce Tullus que parle Cicéron dans les Lettres IX et XV du livre VIII à Atticus. — Sur l'absence du *nomen gentilicium*, voy. la note 14 du ch. XVIII.

7. «Le tribunal du préteur, au milieu du Forum, à ciel ouvert, entouré d'un petit mur à hauteur d'appui, était exposé à toutes les violences d'une foule ameutée.»

8. A Rome, les juges, au criminel, votaient en écrivant sur une petite tablette enduite de cire (*δέλτος*), soit la lettre A = *absolvo*, soit la lettre C = *condemno*, soit les deux lettres N. L. = *non liquet*, et jetant cette tablette dans l'urne.

9. Plutarque rapporte le même fait, au chap. X de la *Vie de César*, dans les termes suivants: *Ἀποφεύγει δ' οὖν τὸ ἔγκλημα τῶν πλείστων δικαστῶν συγκεχυμένοις τοῖς γράμμασι τὰς γνώμας ἀποδόντων, ὅπως μήτε παρακινδυνεύσωσιν ἐν τοῖς πολλοῖς καταψηφισάμενοι μήτε ἀπολύσαντες ἀδοξήσωσι παρὰ τοῖς ἀρίστοις.* Étant donnée la façon de voter des juges romains, expliquée dans la note précédente, et dont Plutarque ne semble pas s'être rendu compte, les mots *δέλτους* (ou *γνώμας*) *συγκεχυμένοις τοῖς γράμμασι* (= «es tablettes où ilz escrivirent leurs sentences, les lettres en la plus part estoient toutes confuses,» comme traduit Amyot) ne correspondent à rien de réel. Plutarque aura sans doute mal compris le texte latin auquel il emprunte le récit de l'affaire. Les juges auxquels la raison qu'il donne dans le passage cité de la *Vie de César* (*ὅπως μήτε κτλ.*) a dicté leur sentence, ont dû voter N. L.; on ne voit pas pourquoi un juge qui, s'il ne veut ni condamner ni absoudre, n'a qu'à voter N. L., tracerait des lettres confuses, susceptibles d'être interprétées soit dans le sens de la condamnation, soit dans celui de l'absolution. Cicéron, dans le passage qui va être cité à la note suivante, ne parle que de ceux qui votèrent A ou C.

10. Cicéron (*Ad Attic.*, I, XVI, 5), après avoir dit un mot de la corruption des juges par Clodius, continue: «*Ita summo discessu bonorum, pleno foro servorum, XXV judices ita fortes tamen fuerunt ut summo proposito periculo vel perire maluerint quam perdere omnia: XXXI fuerunt quos fames magis quam fama commoveret: quorum Catulus quum vidisset quendam* [*τοῖς δικάσταις* n'est pas heureusement dit chez Plutarque, au lieu de *τινὶ*

Κικέρων δέ(11), *τοῦ Κλωδίου πρὸς αὐτὸν λέγοντος ὅτι μαρτυρῶν οὐκ ἔσχε πίστιν παρὰ τοῖς δικασταῖς*, «*Ἀλλ' ἐμοὶ μὲν*» *εἶπεν* «*οἱ πέντε καὶ εἴκοσι τῶν δικαστῶν ἐπίστευσαν· τοσοῦτοι γάρ σου κατεψηφίσαντο. Σοὶ δ' οἱ τριάκοντα οὐκ ἐπίστευσαν· οὐ γὰρ πρότερον ἀπέλυσαν ἢ ἔλαβον τὸ ἀργύριον*(12).»

Ὁ μέντοι Καῖσαρ οὐ κατεμαρτύρησε κληθεὶς ἐπὶ τὸν Κλώδιον, οὐδ' ἔφη μοιχείαν κατεγνωκέναι τῆς γυναικός(13), *ἀφεικέναι δ' αὐτὴν ὅτι τὸν Καίσαρος ἔδει γάμον οὐ πράξεως αἰσχρᾶς μόνον, ἀλλὰ καὶ φήμης καθαρὸν εἶναι*(14).

CHAPITRE XXX.

Διαφυγὼν δὲ τὸν κίνδυνον ὁ Κλώδιος, καὶ δήμαρχος αἱρεθείς(1), *εὐθὺς εἴχετο τοῦ Κικέρωνος*(2), *πάνθ' ὁμοῦ πράγματα καὶ πάντας ἀνθρώπους συνάγων καὶ ταράττων ἐπ' αὐτόν. Τόν τε γὰρ δῆμον ᾠκειώσατο νόμοις φιλανθρώποις, καὶ τῶν ὑπάτων ἑκατέρῳ μεγάλας ἐπαρχίας ἐψηφίσατο*(3), *Πείσωνι μὲν Μακεδονίαν, Γαβινίῳ δὲ Συρίαν, πολλοὺς δὲ καὶ τῶν ἀπόρων συνέτασσεν εἰς τὸ πολίτευμα, καὶ δούλους ὡπλισμένους περὶ αὐτὸν εἶχε. Τῶν δὲ πλεῖστον δυναμένων τότε τριῶν ἀνδρῶν, Κράσσου μὲν ἄντικρυς Κικέρωνι πολεμοῦντος, Πομπηΐου δὲ θρυπτομένου πρὸς ἀμφοτέρους, Καίσαρος δὲ μέλλοντος εἰς Γαλατίαν ἐξιέναι μετὰ στρατεύματος, ὑπὸ τοῦτον ὑποδὺς*(4) *ὁ Κικέρων, καίπερ οὐκ ὄντα φίλον, ἀλλ' ὑποπ-*

τῶν δικαστῶν]. «*Quid vos, inquit, praesidium a nobis postulabatis? an, ne nummi vobis eriperentur timebatis?*»

11. Cette scène-ci eut lieu en plein Sénat. La repartie que rapporte ici Plutarque vint à la suite de cinq ou six autres, non moins plaisantes, que Cicéron a consignées dans la lettre à Atticus qui vient d'être citée.

12. Voici le texte latin: «*Juranti, inquit, tibi non crediderunt. — Mihi vero, inquam, XXV judices crediderunt; XXXI quoniam nummos ante acceperunt, tibi nihil crediderunt.*» CREDIDERUNT = *ils t'ont cru* et: *ils t'ont fait crédit.* Il y avait là, en latin, un jeu de mots qui n'a pas été rendu chez Plutarque.

13. C'est-à-dire: «Qu'il ne tenoit pas sa femme pour adultere.» (Amyot).

14. Cf. *Vie de César*, ch. x: «*Ὁ δὲ Καῖσαρ ἀπεπέμψατο μὲν εὐθὺς τὴν Πομπηΐαν, μαρτὺς δὲ πρὸς τὴν δίκην κληθεὶς οὐδὲν ἔφη τῶν λεγομένων κατὰ τοῦ Κλωδίου γινώσκειν. Ὡς δὲ τοῦ λόγου παραδόξου φανέντος ὁ κατήγορος ἠρώτησε* «*Πῶς οὖν ἀπεπέμψω τὴν γυναῖκα;*» «*Ὅτι, ἔφη, τὴν ἐμὴν ἠξίουν μηδὲ ὑπονοηθῆναι.*»

Ch. XXX.] 1. Pour l'année 58 av. J.-C.

2. *Εἴχετο τοῦ Κικέρωνος*, s'occupa de Cicéron. Amyot: «se meit incontinent (*εὐθύς*) à persecuter Ciceron.»

3. *Ἐψηφίσατο*, fit voter par le peuple (voy. la note 12 du ch. XXIII.)

4. *Ὑπὸ τοῦτον ὑποδύς*, «Ciceron se jetta soulz l'aile de celuy-là.» (Amyot.)

τον ἐκ τῶν περὶ Κατιλίναν, ἠξίωσε(5) *πρεσβευτὴς αὐτῷ συστρατεύειν. Δεξαμένου δὲ τοῦ Καίσαρος, ὁ Κλώδιος, ὁρῶν ἐκφεύγοντα τὴν δημαρχίαν αὐτοῦ, τὸν Κικέρωνα προσεποιεῖτο συμβατικῶς ἔχειν, καὶ τῇ Τερεντίᾳ τὴν πλείστην αἰτίαν ανατιθείς, ἐκείνου δὲ μεμνημένος ἐπιεικῶς ἀεὶ καὶ λόγους εὐγνώμονας ἐνδιδούς, ὡς ἄν τις*(6) *οὐ μισῶν οὐδὲ χαλεπαίνων, ἀλλ' ἐγκαλῶν μέτρια καὶ φιλικά, παντάπασιν αὐτοῦ τὸν φόβον ἀνῆκεν, ὥστ' ἀπειπεῖν τῷ Καίσαρι τὴν πρεσβείαν καὶ πάλιν ἔχεσθαι τῆς πολιτείας. Ἐφ' ᾧ παροξυνθεὶς ὁ Καῖσαρ τόν τε Κλώδιον ἐπέρρωσε καὶ Πομπήϊον ἀπέστρεψε κομιδῇ τοῦ Κικέρωνος, αὐτός τε κατεμαρτύρησεν*(9) *ἐν τῷ δήμῳ μὴ δοκεῖν αὐτῷ καλῶς μηδὲ νομίμως ἄνδρας ἀκρίτους ἀνῃρῆσθαι τοὺς περὶ Λέντλον καὶ Κέθηγον*(8). *Αὕτη γὰρ ἦν ἡ κατηγορία καὶ ἐπὶ τούτῳ Κικέρων ἐνεκαλεῖτο*(9). *Κινδυνεύων οὖν καὶ διωκόμενος ἐσθῆτά τε μετήλλαξε καὶ κόμης ἀνάπλεως*(10) *περιϊὼν ἱκέτευε τὸν δῆμον. Πανταχοῦ δ' ὁ Κλώδιος ἀπήντα κατὰ τοὺς στενωπούς, ἀνθρώπους ἔχων ὑβριστὰς καὶ θρασεῖς περὶ αὐτόν, οἳ πολλὰ μὲν χλευάζοντες ἀκολάστως εἰς τὴν μεταβολὴν καὶ τὸ σχῆμα τοῦ Κικέρωνος, πολλαχοῦ δὲ πηλῷ καὶ λίθοις βάλλοντες ἐνίσταντο ταῖς ἱκεσίαις*(11).

---

5. *Ἠξίωσε*. Cicéron lui-même écrit à Atticus (II, XVIII, 3): « *A Caesare valde liberaliter invitor in legationem illam, sibi ut sim legatus.* » César aurait voulu entraîner Cicéron dans sa politique personnelle.

6. *Ὡς ἄν τις* = *ὡς ποιοῖτο ἄν τις*.

7. *Κατεμαρτύρησεν*, témoigna contre *Cicéron en disant* (sous-entendez ces dernier mots, ceux qui sont en italique).

8. Clodius convoqua l'assemblée, non pas au Forum, mais au Champ de Mars, hors des murs, afin que César qui, déjà revêtu de l'*imperium* proconsulaire, ne pouvait plus remettre le pied dans Rome sans perdre sa charge, assistât à la réunion. Après qu'on eût demandé aux consuls leur avis sur la proposition de loi de Clodius (voy. la note suivante), César, interrogé à son tour, blâma les actes illégaux qui avaient été commis à l'égard de Lentulus et autres, mais ajouta qu'il ne convenait pas de faire maintenant une loi qui eût un effet rétroactif pour atteindre ces illégalités passées (Dion Cassius, XXXVIII, 17).

9. Velleius Paterculus (II, 45): « *Clodius legem in tribunatu tulit,* QUI CIVEM ROMANUM INDEMNATUM INTEREMISSET, EI AQUA ET IGNI INTERDICERETUR; *cujus verbis etsi non nominabatur Cicero, tamen solus petebatur.* » — Amyot: « Car c'estoit (*αὕτη γὰρ ἦν*) l'accusation de Cicéron » (*ἡ κατηγορία*). Notez l'accord de *αὕτη*, qui donne ici le même sens que *τοῦτο*, avec *κατηγορία*.

10. Voy. la note 6 du ch. IX.

11. Cicéron (*Pro Sestio*, XII, § 27): « *Hac mutatione vestis facta, tanto in luctu civitatis, omitto quid ille tribunus, omnium rerum divinarum humanarumque praedo, fecerit, qui adesse nobilissimos adolescentes, honestissimos equites Romanos, deprecatores salutis meae jusserit eosque operarum suarum gladiis et lapidibus objecerit.* »

CHAPITRE XXXI.

Οὐ μὴν ἀλλὰ τῷ Κικέρωνι πρῶτον μὲν ὀλίγου δεῖν σύμπαν τὸ τῶν ἱππικῶν πλῆθος συμμετέβαλε τὴν ἐσθῆτα, καὶ δισμυρίων οὐκ ἐλάττους νέων παρηκολούθουν κομῶντες καὶ συνικετεύοντες(1)· *ἔπειτα τῆς βουλῆς συνελθούσης, ὅπως ψηφίσαιτο τὸν δῆμον ὡς ἐπὶ πένθεσι μεταβαλεῖν τὰ ἱμάτια, καὶ τῶν ὑπάτων ἐναντιωθέντων, Κλωδίου δὲ σιδηροφορουμένου περὶ τὸ βουλευτήριον, ἐξέδραμον οὐκ ὀλίγοι τῶν συγκλητικῶν καταρρηγνύμενοι τοὺς χιτῶνας καὶ βοῶντες. Ὡς δ' ἦν οὔτ' οἶκτος οὔτε τις αἰδὼς πρὸς τὴν ὄψιν, ἀλλ' ἔδει τὸν Κικέρωνα φεύγειν ἢ βίᾳ καὶ σιδήρῳ διακριθῆναι*(2) *πρὸς τὸν Κλώδιον, ἐδεῖτο Πομπηΐου βοηθεῖν, ἐπίτηδες ἐκποδὼν γεγονότος καὶ διατρίβοντος ἐπ' ἀγροῖς*(3) *παρὰ τὸ Ἀλβανόν*(4). *Καὶ πρῶτον μὲν ἔπεμψε Πείσωνα τὸν γαμβρὸν*(5) *δεησόμενον· ἔπειτα καὶ αὐτὸς ἀνέβη*(6). *Πυθόμενος δ' ὁ Πομπήϊος οὐχ ὑπέμεινεν εἰς ὄψιν ἐλθεῖν, — δεινὴ γὰρ αὐτὸν αἰδὼς εἶχε πρὸς τὸν ἄνδρα, μεγάλους ἠγωνισμένον ἀγῶνας ὑπὲρ αὐτοῦ καὶ πολλὰ πρὸς χάριν ἐκείνῳ*(7) *πεπολιτευμένον, — ἀλλὰ Καίσαρι γαμβρὸς ὢν δεομένῳ προὔδωκε τὰς παλαιὰς χάριτας, καὶ κατὰ θύρας ἄλλας ὑπεξελθὼν ἀπεδίδρασκε τὴν ἔντευξιν.*

Οὕτω δὴ προδοθεὶς ὁ Κικέρων ὑπ' αὐτοῦ, καὶ γεγονὼς ἔρημος, ἐπὶ τοὺς ὑπάτους κατέφυγε. Καὶ Γαβίνιος μὲν ἦν χαλεπὸς ἀεί, Πείσων δὲ διελέχθη πρᾳότερον αὐτῷ παραινῶν ἐκστῆναι καὶ ὑποχωρῆσαι τῇ τοῦ Κλωδίου ῥύμῃ καὶ τὴν μεταβολὴν τῶν καιρῶν ἐνεγκεῖν καὶ γενέσθαι πάλιν σωτῆρα τῆς πατρίδος ἔν τε στάσεσι καὶ κακοῖς δι' ἐκεῖνον οὔσης. Τοιαύτης δὲ τυχὼν ἀποκρίσεως ὁ Κικέρων ἐβουλεύετο σὺν τοῖς φίλοις· καὶ Λεύκολλος μὲν ἐκέλευε μένειν ὡς περιεσόμενον(8), *ἄλλοι δὲ φεύγειν, ὡς*

Ch. XXXI.] 1. Voy. le passage de Cicéron cité à la note précédente.

2. *Ἔδει διακριθῆναι*, il fallait qu'il fût combattu, qu'on combattît.

3. *Διατρίβοντος ἐπ' ἀγροῖς*, « et se tenoit en une de ses maisons aux champs. » Amyot.

4. *Τὸ Ἀλβανόν*, en latin *Albanum*, nom donné, du temps de Cicéron, à cette belle contrée, couverte alors de beaux vignobles et de maisons de plaisance, où s'était élevée jadis Albe-la-Longue. C'est à peu près l'emplacement occupé par la ville moderne d'Albano.

5. Ce n'est pas le même personnage que le Pison consul, nommé dans le chapitre précédent et plus bas dans celui-ci. Le gendre de Cicéron était C. Calpurnius Piso Frugi.

6. L'*Albanum* est une colline.

7. *Ἐκείνῳ*, comme *αὐτοῦ* quelques mots auparavant, c'est toujours Pompée.

8. *Ὡς περιεσόμενον* équivaut à: *disant qu'il serait le plus fort*. Voy. la note 12 du ch. III.

ταχὺ τοῦ δήμου ποθήσοντος αὐτόν, ὅταν ἐμπλησθῇ τῆς Κλωδίου μανίας καὶ ἀπονοίας. Ταῦτ' ἔδοξε Κικέρωνι· καὶ τὸ μὲν ἄγαλμα τῆς Ἀθηνᾶς, ὃ πολὺν χρόνον ἔχων ἐπὶ τῆς οἰκίας ἱδρυμένον ἐτίμα διαφερόντως, εἰς Καπιτώλιον κομίσας ἀνέθηκεν ἐπιγράψας «Ἀθηνᾷ 'Ρώμης φύλακι(9)· » πομποὺς δὲ παρὰ τῶν φίλων λαβών, περὶ μέσας νύκτας ὑπεξῆλθε τῆς πόλεως, καὶ πεζῇ διὰ Λευκανίας ἐπορεύετο, λαβέσθαι Σικελίας βουλόμενος.

CHAPITRE XXXII.

Ὡς δ' ἦν φανερὸς ἤδη πεφευγώς, ἐπήγαγεν αὐτῷ φυγῆς ψῆφον ὁ Κλώδιος, καὶ διάγραμμα(1) προύθηκεν εἴργειν πυρὸς καὶ ὕδατος τὸν ἄνδρα(2) καὶ μὴ παρέχειν στέγην ἐντὸς μιλίων πεντακοσίων (3) Ἰταλίας. Τοῖς μὲν οὖν ἄλλοις ἐλάχιστος ἦν τοῦ διατάγματος τούτου λόγος(4) αἰδουμένοις τὸν Κικέρωνα, καὶ πᾶσαν ἐνδεικνύμενοι φιλοφροσύνην παρέπεμπον αὐτόν· ἐν δ' Ἱππωνίῳ, πόλει τῆς Λευκανίας(5), ἣν Οὐιβῶνα νῦν καλοῦσιν(6), Οὐΐβιος, ἀνὴρ ἄλλα τε πολλὰ τῆς Κικέρωνος φιλίας ἀπολελαυκὼς καὶ γεγονώς, ὑπατεύοντος αὐτοῦ, τεκτόνων ἔπαρχος(7), οἰκίᾳ μὲν οὐκ

---

9. Ἀθηνᾷ 'Ρώμης φύλακι. Cicéron à Cornificius (*Ad fam.*, XII, 25): «*Minerva nostra, custos urbis* . . .» Cf., dans ses *Lois* (II, xvii, 42): «*Nos, qui illam custodem urbis, omnibus ereptis nostris rebus ac perditis, violari ab impiis passi non sumus, eamque ex nostra domo in ipsius patris domum detulimus.*»

Ch. XXXII.] 1. Plutarque, *Vie de Marcellus* (chap. xxiv): Τὰ διαγράμματα τῶν ἀρχόντων Ἕλληνες μὲν διατάγματα, 'Ρωμαῖοι δὲ ἐδικτα (edicta) προσαγορεύουσι.

2. *Εἴργειν κτλ.* = *ei aqua et igni interdici.*

3. *Πεντακοσίων.* Cicéron (*Ad Attic.*, III, 4): «*Allata est enim nobis* (a Vibone) *rogatio de pernicie mea, in qua quod correctum esse audieramus erat ejusmodi, ut mihi ultra* QUADRINGENTA *millia liceret esse.*»

4. Ἐλάχιστος . . . λόγος, «ne feirent compte aucun de ceste deffense.» (Amyot.)

5. Non pas en Lucanie, mais plus au sud, dans le Brutium.

6. «Aujourd'hui encore *Bivona*, mais selon d'autres, *Monte Leone.*» (Dübner.)

7. Ce que Plutarque rapporte ici de Vibius convient fort bien à Sicca, cet ami de Cicéron, dont le nom revient à plusieurs reprises dans ses lettres, notamment dans la ii^e et la iv^e lettre du III^e livre à Atticus: «*Itineris nostri causa fuit quod non habebam locum ubi pro meo jure diutius esse possem quam in fundo Sicae;*» cf. la lettre iii (du même jour): «*Sed te oro ut ad me Vibonem statim venias.*» Cicéron espérait encore alors pouvoir rester à Vibone. La iv^e lettre du même livre, datée «in itinere inter Vibonem et Brundisium mense Aprili», et postérieure de peu aux précédentes, commence ainsi: «*Miseriae nostrae potius velim quam incon-*

ἐδέξατο, τὸ χωρίον δὲ καταγράψειν(8) ἐπηγγέλλετο· καὶ Γάϊος Οὐεργίλιος ὁ τῆς Σικελίας στρατηγός, ἀνὴρ ἐν τοῖς μάλιστα Κικέρωνι κεχρημένος, ἔγραψεν ἀπέχεσθαι Σικελίας(9). Ἐφ' οἷς ἀθυμήσας ὥρμησεν ἐπὶ Βρεντέσιον(10), κἀκεῖθεν εἰς Δυρράχιον ἀνέμῳ φορῷ περαιούμενος, ἀντιπνεύσαντος πελαγίου μεθ' ἡμέραν ἐπαλινδρόμησεν, εἶτ' αὖθις ἀνήχθη. Λέγεται δὲ καί, καταπλεύσαντος εἰς Δυρράχιον αὐτοῦ καὶ μέλλοντος ἀποβαίνειν, σεισμόν τε τῆς γῆς καὶ σπασμὸν ἅμα γενέσθαι τῆς θαλάσσης(11). Ἀφ' ὧν συνέβαλον οἱ μαντικοὶ μὴ μόνιμον αὐτῷ τὴν φυγὴν ἔσεσθαι· μεταβολῆς γὰρ εἶναι ταῦτα σημεῖα.

Πολλῶν δὲ φοιτώντων ἀνδρῶν ὑπ' εὐνοίας, καὶ τῶν Ἑλληνίδων πόλεων διαμιλλωμένων ἀεὶ ταῖς πρεσβείαις πρὸς αὐτόν, ὅμως ἀθυμῶν καὶ περίλυπος(12) διῆγε(13) τὰ πολλά, πρὸς τὴν Ἰταλίαν, ὥσπερ οἱ δυσέρωτες, ἀφορῶν καὶ τῷ φρονήματι μικρὸς ἄγαν καὶ ταπεινὸς ὑπὸ τῆς συμφορᾶς γεγονὼς καὶ συνεσταλμένος, ὡς οὐκ ἄν τις ἄνδρα παιδείᾳ συμβεβιωκότα τοσαύτῃ προσεδόκησε(14). Καίτοι πολλάκις αὐτὸς ἠξίου τοὺς φίλους μὴ ῥήτορα καλεῖν αὐτόν, ἀλλὰ φιλόσοφον· φιλοσοφίαν γὰρ ὡς ἔργον(15) ᾑρῆσθαι, ῥητορικῇ δ' ὀργάνῳ χρῆσθαι πολιτευόμενος ἐπὶ τὰς χρείας(16). Ἀλλ' ἡ δόξα δεινὴ τὸν λόγον, ὥσπερ βαφήν, ἀποκλύσαι τῆς ψυχῆς καὶ

---

stantiae tribuas, quod a Vibone, quo te arcessebamus, subito discessimus; allata est enim, etc. (cf. la n. 3 du prés. ch.) *Illo quum pervenire non liceret, statim iter Brundisium versus contuli ante diem rogationis ne et Sica, apud quem eram, periret.* Il y a lieu de penser que Vibius et Sicca sont deux noms du même personnage. On lit ordinairement ici dans les éditions de Plutarque: *Οὐΐβιος Σικελὸς ἀνήρ.* Le mot *Σικελός* n'existe pas dans le manuscrit de Madrid, et il est effectivement parasite. Il est possible qu'il provienne du nom *Sicca* écrit à la marge de quelque exemplaire antique, pour indiquer que le Vibius de Plutarque était le même qui était d'ailleurs connu sous cet autre nom. — *Τεκτόνων ἔπαρχος*, en latin *praefectus fabrum.*

8. *Καταγράψειν*, de lui assigner.

9. Cicéron (*Pro Plancio* XL, § 95-96): «*Siciliam petivi animo, quae et ipsa erat mihi sicut domus conjuncta et obtinebatur a C. Vergilio, quocum me uno vel maxime . . . quum fratris mei collegia tum rei publicae causa sociarat. Vide nunc caliginem temporum illorum! . . . Praetor ille . . . . me in Siciliam venire noluit.*»

10. Cicéron (*Pro Planc.*, XL, § 96): «*Tum consilio repente mutato iter a Vibone Brundisium terra petere contendi: nam maritimos cursus praecludebat hiemis magnitudo.*»

11. «Cicéron ne parle nulle part de ce prodige.»

12. Les lettres VIII à XXI du III° livre à Atticus témoignent de l'état d'esprit de Cicéron pendant ce temps-là.

13. *Διῆγε.* D'abord à Thessalonique, plus tard à Dyrrachium.

14. Sous-entendu *ἂν γενέσθαι.*

15. *Ἔργον*, «sa principale profession.» (Amyot.)

16. *Ῥητορικῇ . . . . χρείας*, «que de l'eloquence il n'en usoit sinon comme

τὰ τῶν πολλῶν ἐνομόρξασθαι(17) πάθη δι' ὁμιλίαν καὶ συνήθειαν τοῖς πολιτευομένοις, ἂν μή τις εὖ μάλα φυλαττόμενος οὕτω συμφέρηται τοῖς ἐκτός(18), ὡς τῶν πραγμάτων αὐτῶν, οὐ τῶν ἐπὶ τοῖς πράγμασι παθῶν συμμεθέξων.

CHAPITRE XXXIII.

Ὁ δὲ Κλώδιος ἐξελάσας αὐτὸν κατέπρησε μὲν αὐτοῦ τὰς ἐπαύλεις, κατέπρησε δὲ τὴν οἰκίαν(1) καὶ τῷ τόπῳ ναὸν Ἐλευθερίας ἐπῳκοδόμησε· τὴν δ' ἄλλην οὐσίαν ἐπώλει καὶ διεκήρυττε καθ' ἡμέραν(2), μηδὲν ὠνουμένου μηδενός. Ἐκ δὲ τούτου φοβερὸς ὢν τοῖς ἀριστοκρατικοῖς, καὶ τὸν δῆμον ἀνειμένον(3) εἰς ὕβριν πολλὴν καὶ θρασύτητα συνεφελκόμενος, ἐπεχείρει Πομπηΐῳ, τῶν δεδιῳκημένων αὐτῷ κατὰ τὴν στρατείαν ἔνια σπαράττων(4). Ἐφ' οἷς ὁ Πομπήϊος ἀδοξῶν(5), ἐκάκιζεν(6) αὐτὸς ἑαυτὸν προέμενος τὸν Κικέρωνα· καὶ πάλιν ἐκ μεταβολῆς παντοῖος ἐγένετο πράττων κάθοδον αὐτῷ μετὰ τῶν φίλων(7). Ἐνισταμένου δὲ τοῦ Κλωδίου, συνέδοξε τῇ βουλῇ μηδὲν διὰ μέσου πρᾶγμα κυροῦν μηδὲ πράττειν δημόσιον(8), εἰ μὴ Κικέρωνι κάθοδος γένοιτο(9).

---

d'un util [outil] necessaire à qui s'entremet du gouvernement des affaires.» (Amyot.) Comp. au ch. IV: ὥσπερ ὄργανον ἐξηρτύετο τὸν ῥητορικὸν λόγον.

17. Ἡ δόξα δεινὴ (ἐστι) .... ἀποκλύσαι .... καὶ ἐνομόρξασθαι. «L'opinion a grande force à effacer le discours de la raison, ne plus ne moins qu'une teinture, des ames de ceulx qui s'empeschent du gouvernement des affaires publiques (τοῖς πολιτευομένοις), et à leur imprimer (ἐνομόρξασθαι), etc.» (Amyot.)

18. Οὕτω ... ἐκτός, *se comporte de telle sorte avec le monde.* Τοῖς ἐκτός est ici le datif, non de τὰ ἐκτός mais de οἱ ἐκτός. Cf. *Vie de Démosthène*, p. 329, n 1 du chap. VIII.

Ch. XXXIII.] 1. Τὴν οἰκίαν, sa maison à Rome, sur le Palatin.

2. Καθ' ἡμέραν, *tous les jours.* La criée était à recommencer tous les jours, puisque rien ne trouvait jamais acheteur.

3. «Ἀνειμένον (d'ἀνίημι), qui s'était abandonné, laissé aller à.»

4. Τῶν δεδιῳκημένων .... σπαράττων. Amyot: «En parlant mal de quelques choses qu'il avoit ordonnées du temps qu'il faisoit la guerre (en Asie). — Δεδιῳκημένων (avec redoublement irrégulier δε-, outre l'augment temporel ῳ), forme de la décadence.

5. Ἐφ' οἷς .... ἀδοξῶν est rendu, sans doute justement, par Amyot: «Dont tout le monde disoit que c'estoit très bien employé» (que c'était bien fait).

6. Ἐκάκιζεν ... προέμενος κτλ. «Et luy se blasmoit grandement soymesme de ce qu'il avoit abandonné Cicéron.» (Amyot.)

7. Παντοῖος ... μετὰ τῶν φίλων, «taschant par tous moyens avec ses amis de le faire rappeler.» (Amyot).

8. Joignez μηδὲν πρᾶγμα δημόσιον. Entendez διὰ μέσου: *qui se présenterait dans l'intervalle.*

9. Cicéron (*Pro Sestio*, XXXI, § 68): «*Omnia senatus rejiciebat, nisi de me primum consules rettulissent.*»

Τῶν δὲ περὶ Λέντλον ὑπατευόντων(10) *καὶ τῆς στάσεως πρόσω βαδιζούσης, ὥστε τρωθῆναι μὲν ἐν ἀγορᾷ δημάρχους, Κόϊντον δὲ τὸν Κικέρωνος ἀδελφὸν ἐν τοῖς νεκροῖς ὡς τεθνηκότα κείμενον διαλαθεῖν*(11), *ὅ τε δῆμος ἤρχετο τρέπεσθαι τῇ γνώμῃ, καὶ τῶν δημάρχων Ἄννιος Μίλων πρῶτος ἐτόλμησε τὸν Κλώδιον εἰς δίκην ὑπάγειν βιαίων*(12), *καὶ Πομπηΐῳ πολλοὶ συνῆλθον ἔκ τε τοῦ δήμου καὶ τῶν πέριξ πόλεων. Μεθ' ὧν προελθών, καὶ τὸν Κλώδιον ἀναστείλας* (13) *ἐκ τῆς ἀγορᾶς, ἐπὶ τὴν ψῆφον ἐκάλει τοὺς πολίτας. Καὶ λέγεται μηδέποτε μηδὲν ἐκ τοσαύτης ὁμοφροσύνης ἐπιψηφίσασθαι τὸν δῆμον. Ἡ δὲ σύγκλητος ἁμιλλωμένη πρὸς τὸν δῆμον ἔγραψεν ἐπαινεθῆναι τὰς πόλεις, ὅσαι τὸν Κικέρωνα παρὰ τὴν φυγὴν ἐθεράπευσαν, καὶ τὴν οἰκίαν αὐτῷ καὶ τὰς ἐπαύλεις, ἃς Κλώδιος διεφθάρκει, τέλεσι δημοσίοις ἀνασταθῆναι* (14).

Κατῄει δὲ Κικέρων ἑκκαιδεκάτῳ (15) *μηνὶ μετὰ τὴν φυγήν· καὶ τοσαύτη τὰς πόλεις χαρὰ καὶ σπουδὴ τοὺς ἀνθρώπους περὶ τὴν ἀπάντησιν*(16) *εἶχεν, ὥστε τὸ ῥηθὲν ὑπὸ τοῦ Κικέρωνος ὕστερον ἐνδεέστερον εἶναι τῆς ἀληθείας. Ἔφη γὰρ αὐτὸν ἐπὶ τῶν ὤμων τὴν Ἰταλίαν φέρουσαν εἰς τὴν Ῥώμην εἰσενεγκεῖν* (17). *Ὅπου καὶ Κράσσος, ἐχθρὸς ὢν αὐτῷ πρὸ τῆς φυγῆς, τότε προθύμως ἀπήντα καὶ διελύετο, τῷ παιδὶ Ποπλίῳ χαριζόμενος, ὡς ἔλεγε, ζηλωτῇ τοῦ Κικέρωνος ὄντι.*

---

10. « P. Cornelius Lentulus Spinther et Q. Cecilius Metellus Nepos, consuls de l'an 696 de Rome, 57 av. J.-C. »

11. Cette assertion a vraisemblablement pour origine un contre-sens commis par Plutarque (ou tel autre auteur grec qu'il suit) en lisant ce passage de Cicéron (*Pro Sestio*, xxxv, § 76—77): « *Quum ad fratris salutem a populo Romano deprecandam venisset, pulsus e rostris in comitio jacuit seque servorum et libertorum corporibus obtexit vitamque tum suam noctis et fugae praesidio, non juris judiciorumque defendit. Meministis tum, judices, corporibus civium Tiberim compleri.* » Plutarque aura pris le premier *corporibus* comme le second, dans le sens de *cadavres*.

12. *Δίκην βιαίων*, en latin *quaestionem de vi*, accusation de coups et blessures.

13. *Ἀναστείλας*, ayant chassé.

14. Cicéron (*In Pisonem*, xxii, § 52): « *Pecunia publica aedificandam domum censuerunt.* »

15. Cicéron s'était enfui de Rome à la fin de mars 58. Le décret qui le rappela est du 4 août 57. Cela fait donc seize mois pleins jusqu'à ce jour-là. En réalité, Cicéron ne remit le pied dans Rome que dix-sept mois après en être sorti.

16. *Περὶ τὴν ἀπάντησιν*, pour aller à sa rencontre.

17. Cicéron (*Post reditum in senatu*, xv, § 39): « *Quum me . . . Italia cuncta paene suis humeris reportarit . . .* »

CHAPITRE XXXIV.

Χρόνον δ' οὐ πολὺν διαλιπὼν καὶ παραφυλάξας ἀποδημοῦντα τὸν Κλώδιον ἐπῆλθε μετὰ πολλῶν τῷ Καπιτωλίῳ, καὶ τὰς δημαρχικὰς δέλτους, ἐν οἷς ἀναγραφαὶ τῶν δεδιῳκημένων ἦσαν, ἀπέσπασε καὶ διέφθειρεν (1). Ἐγκαλοῦντος δὲ περὶ τούτων τοῦ Κλωδίου, τοῦ δὲ Κικέρωνος λέγοντος, ὡς παρανόμως ἐκ πατρικίων εἰς δημαρχίαν παρέλθοι(2), καὶ κύριον οὐδὲν εἴη τῶν πεπραγμένων ὑπ' αὐτοῦ, Κάτων ἠγανάκτησε καὶ ἀντεῖπε, τὸν μὲν Κλώδιον οὐκ ἐπαινῶν, ἀλλὰ καὶ δυσχεραίνων τοῖς πεπολιτευμένοις(3), δεινὸν δὲ καὶ βίαιον ἀποφαίνων ἀναίρεσιν ψηφίσασθαι δογμάτων καὶ πράξεων τοσούτων τὴν σύγκλητον, ἐν αἷς εἶναι (4) καὶ τὴν ἑαυτοῦ τῶν περὶ Κύπρον καὶ Βυζάντιον διοίκησιν(5). Ἐκ τούτου προσέκρουσεν ὁ Κικέρων αὐτῷ πρόσκρουσιν(6) εἰς οὐδὲν ἐμφανὲς προελθοῦσαν, ἀλλ' ὥστε τῇ φιλοφροσύνῃ χρῆσθαι πρὸς ἀλλήλους ἀμαυρότερον.

CHAPITRE XXXV.

Μετὰ ταῦτα Κλώδιον μὲν ἀποκτίννυσι Μίλων(1)· καὶ διωκό-

Ch. XXXIV.] 1. Les archives de l'État, du temps de Cicéron, étaient conservées dans un édifice appelé *Tabularium*, qui était bâti derrière le temple de la Concorde et de Saturne, sur le *clivus Capitolinus*. — Dion Cassius (XXXIX, § 21) dit seulement que Cicéron emporta chez lui les tablettes qui avaient trait à son bannissement, et non point qu'il détruisit toutes les tablettes relatives aux actes de Clodius pendant son tribunat.

2. « Clodius, originaire de la famille patricienne des Claudii, s'était fait adopter par le plébéien P. Fonteius, en vertu d'une *lex curiata* votée sur la proposition de César: de la sorte, devenu plébéien, il put se faire élire tribun (car le tribunat était une magistrature essentiellement plébéienne). C'est la légalité de cette adoption que contestait Cicéron: « *In illa adoptione legitime factum est nihil* » (au chap. XXIX, § 77, du *Pro domo sua*; cf. XIII, § 34).

3. *Τοῖς πεπολιτευμένοις*, l'administration *de Clodius*.

4. *Εἶναι* à l'infinitif, parce que ce n'est pas Plutarque qui fait remarquer que ces actes administratifs de Caton eussent été ainsi compris dans l'annulation, mais parce que Caton lui-même l'avait dit dans son discours au Sénat: *ἐν αἷς (ἔφη) εἶναι κτλ.*

5. En vertu d'une loi proposée par Clodius, Caton, alors questeur, était parti *cum jure praetorio* pour arranger plusieurs affaires en Orient. Effectivement, il avait fait vendre aux enchères les biens du roi de Chypre Ptolémée, et rapporté à Rome, dit-on, près de 33 millions de notre monnaie, produit de cette opération; et, à Byzance, il avait rétabli dans leur patrie les citoyens bannis à la suite de discordes civiles.

6. *Ἐκ τούτου ... πρόσκρουσιν*, il en résulta un froissement entre Cicéron et Caton.

Ch. XXXV.] 1. En janvier 52.

μενος φόνου, Κικέρωνα παρεστήσατο(2) *συνήγορον. Ἡ δὲ βουλή, φοβηθεῖσα μή, κινδυνεύοντος*(3) *ἀνδρὸς ἐνδόξου καὶ θυμοειδοῦς τοῦ Μίλωνος, ταραχὴ γένηται κατὰ τὴν δίκην* (4), *ἐπέτρεψε Πομπηΐῳ*(5) *ταύτην τε καὶ τὰς ἄλλας κρίσεις βραβεῦσαι, παρέχοντα*(6) *τῇ πόλει καὶ τοῖς δικαστηρίοις ἀσφάλειαν. Ἐκείνου δὲ τὴν ἀγορὰν ἔτι νυκτὸς ἀπὸ τῶν ἄκρων στρατιώταις ἐμπεριλαβόντος* (7), *ὁ Μίλων τὸν Κικέρωνα δείσας μή*(8), *πρὸς τὴν ὄψιν ἀηθείᾳ διαταραχθείς, χεῖρον ἀγωνίσηται, συνέπεισε φορείῳ κομισθέντα πρὸς τὴν ἀγορὰν ἡσυχάζειν, ἄχρι οὗ συνέλθωσιν οἱ κριταὶ καὶ πληρῶται τὸ δικαστήριον.*

Ὁ δ' οὐ μόνον ἦν, ὡς ἔοικεν, ἐν ὅπλοις ἀθαρσής, ἀλλὰ καὶ τῷ λέγειν μετὰ φόβου προσῄει(9), *καὶ μόλις ἂν ἐπαύσατο* (10) *παλλόμενος καὶ τρέμων, ἐπὶ πολλῶν ἀγώνων, ἀκμὴν τοῦ λόγου καὶ κατάστασιν λαβόντος*(11). *Λικινίῳ δὲ Μουρήνᾳ* (12) *φεύγοντι δίκην ὑπὸ Κάτωνος βοηθῶν, καὶ φιλοτιμούμενος Ὁρτήνσιον ὑπερβαλεῖν εὐημερήσαντα, μέρος οὐδὲν ἀνεπαύσατο τῆς νυκτός, ὥσθ', ὑπὸ*

---

2. *Παρεστήσατο.* «Littéralement: plaça à côté de soi; prit pour . . .»
3. «*Κινδυνεύω* se dit souvent des accusés que l'on juge.»
4. *Κατὰ τὴν δίκην*, pendant le procès.
5. Pour cette année 52, Pompée avait été élu consul sans collègue.
6. *Παρέχοντα*, à l'accusatif, bien qu'il s'agisse de Pompée qui figure dans la phrase au datif: *Πομπηΐῳ*. On sait que les Grecs disaient à peu près indifféremment: *Συμφέρει αὐτοῖς φίλους εἶναι*, ou: *συμφέρει αὐτοῖς φίλοις εἶναι.*
7. Pompée fit occuper par des troupes les collines du Capitole et du Palatin qui commandaient le Forum. Cf. Asconius (argument de la Milonienne, § 29): «*Praesidia in foro et circa omnes fori aditus Pompeius disposuit.*»
8. *Τὸν Κικέρωνα δείσας μὴ . . . διαταραχθείς*, hellénisme pour dire: *craignant que Cicéron troublé*, etc.
9. C'est ce qu'avoue Cicéron lui-même: «*Ad respondendum surrexi: qua cura, di immortales! qua sollicitudine animi! quo timore! Semper equidem magno cum motu incipio dicere* (au chap. XVIII, § 51 du *Pro Cluentio*); de même (*Divinatio in Caecilium*, XIII, § 41): «*Quum illius diei mihi venit in mentem, quo die citato reo mihi dicendum sit, non solum commoveor animo, sed etiam toto corpore perhorresco.*»
10. L'aoriste avec *ἄν* s'emploie pour exprimer qu'une action a été, le cas se représentant, maintes fois répétée. (On se sert de l'aoriste sans *ἄν* pour marquer l'habitude dans le présent.)
11. Voici une paraphrase de cette proposition: *Καὶ μόλις ἂν ἐπαύσατο τοῦ παλμοῦ καὶ τοῦ τρόμου, ὅτε ὁ λόγος ἐλάμβανεν ἀκμὴν καὶ κατάστασιν, τουτέστι κατὰ τὰ μέσα τοῦ λόγου μέρη, ὅτε προκεχωρηκὼς ἦν ὁ λόγος ἀπὸ τῆς ἀρχῆς.* Ainsi: il lui arrivait de ne cesser de trembler, dans bien des procès (*ἐπὶ πολλῶν ἀγώνων*), que lorsqu'il était parvenu au cœur de son discours.
12. Voyez la note 17 du ch. XIV.

τοῦ σφόδρα φροντίσαι καὶ διαγρυπνῆσαι κακωθείς, ἐνδεέστερος αὐτοῦ φανῆναι(13).

Τότε δ' οὖν ἐπὶ τὴν τοῦ Μίλωνος δίκην ἐκ τοῦ φορείου προελθὼν καὶ θεασάμενος τὸν Πομπήϊον ἄνω καθεζόμενον ὥσπερ ἐν στρατοπέδῳ, καὶ κύκλῳ τὰ ὅπλα περιλάμποντα τὴν ἀγοράν, συνεχύθη καὶ μόλις ἐνήρξατο τοῦ λόγου, κραδαινόμενος τὸ σῶμα καὶ τὴν φωνὴν ἐπεχόμενος(14), *αὐτοῦ τοῦ Μίλωνος εὐθαρσῶς καὶ ἀδεῶς παρισταμένου τῷ ἀγῶνι καὶ κόμην θρέψαι καὶ μεταβαλεῖν ἐσθῆτα φαιὰν ἀπαξιώσαντος*(15) *· ὅπερ οὐχ ἥκιστα δοκεῖ συναίτιον αὐτῷ γενέσθαι τῆς καταδίκης*(16). *Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος μᾶλλον ἢ δειλὸς ἔδοξεν εἶναι*(17).

CHAPITRE XXXVI.

Γίνεται δὲ καὶ τῶν ἱερέων, οὓς αὔγουρας(1) *Ῥωμαῖοι καλοῦσιν, ἀντὶ Κράσσου τοῦ νέου, μετὰ τὴν ἐν Πάρθοις αὐτοῦ τελευτήν. Εἶτα κλήρῳ λαχὼν τῶν ἐπαρχιῶν Κιλικίαν καὶ στρατὸν ὁπλιτῶν μυρίων καὶ δισχιλίων, ἱππέων δὲ χιλίων ἑξακοσίων, ἔπλευσε, προσταχθὲν αὐτῷ*(2) *καὶ τὰ περὶ Καππαδοκίαν Ἀριοβαρζάνῃ τῷ βασιλεῖ φίλα καὶ πειθήνια παρασχεῖν. Ταῦτα δὴ παρεστήσατο καὶ συνήρμοσεν ἀμέμπτως ἄνευ πολέμου, τούς τε Κίλικας ὁρῶν πρὸς*(3) *τὸ Παρθικὸν πταῖσμα Ῥωμαίων καὶ τὸν ἐν Συρίᾳ νεωτερισμὸν ἐπηρμένους, κατεπράϋνεν ἠμέρως ἄρχων. Καὶ δῶρα μὲν οὐδὲ τῶν βασιλέων διδόντων ἔλαβε, δείπνων δὲ τοὺς ἐπαρχικοὺς ἀνῆκεν*(4) *· αὐτὸς δὲ τοὺς χαρίεντας*(5) *ἀνελάμβανε καθ' ἡμέραν*

---

13. Se trouvant las d'avoir trop pensé et mal dormi, il parut ce jour-là rester au-dessous de lui-même.

14. Même expression dans la *Vie de Brutus* (chap. xv): *Ἥ τε χρόα μεταβολὴν ἐλάμβανε, καὶ τὴν φωνὴν ἐπέσχητο παντάπασιν* (ἡ *Πορκία*).

15. Voy. la note 6 du chap. IX. — *Μεταβαλεῖν* reçoit ici le même sens que *διήλλαξεν* (voy. la note 6 du chap. XIX).

16. On sait que le plaidoyer *Pro Milone* que publia Cicéron, et qui nous a été conservé, est une œuvre composée à loisir après le procès.

17. *Ἀλλ' ὅ γε Κικέρων διὰ ταῦτα φιλέταιρος κτλ.* Cette réflexion est assez mal reliée au récit qui précède.

Ch. XXXVI.] 1. En latin: *augures*.

2. *Προσταχθὲν αὐτῷ*, nominatif absolu, revenant pour le sens à: *ayant pour instructions de . . .*

3. *Πρὸς*, à la suite de, en raison de. — *Τὸ Παρθικὸν πταῖσμα*, c'est le désastre de Crassus dans le pays des Parthes.

4. Amyot: « Et il ne receut jamais present quelconque que lon luy envoyast, non pas des princes ny des roys mesmes, et si deschargea (*ἀνῆκεν* = *ἀφῆκεν*) ceulx de sa province des banquets et festins qu'ilz avoient accoustumé de faire aux autres gouverneurs avant luy. »

ἑστιάσεσιν οὐ πολυτελῶς, ἀλλ' ἐλευθερίως. Ἡ δ' οἰκία (6) θυρωρὸν οὐκ εἶχεν, οὐδ' αὐτὸς ὤφθη κατακείμενος ὑπ' οὐδενός, ἀλλ' ἕωθεν ἑστὼς ἢ περιπατῶν πρὸ τοῦ δωματίου, τοὺς ἀσπαζομένους ἐδεξιοῦτο. Λέγεται δὲ μήτε ῥάβδοις αἰκίσασθαί τινα μήτ' ἐσθῆτα περισχίσαι μήτε βλασφημίαν ὑπ' ὀργῆς ἢ ζημίαν προσβαλεῖν μεθ' ὕβρεως. Ἀνευρὼν δὲ πάμπολλα τῶν δημοσίων κεκλεμμένα, τάς τε πόλεις . . . . εὐπόρους ἐποίησε, καὶ τοὺς ἀποτίνοντας οὐδὲν πλέον τούτου παθόντας ἐπιτίμους διεφύλαξεν (7).

Ἥψατο δὲ καὶ πολέμου, λῃστὰς τῶν περὶ τὸν Ἀμανὸν οἰκούντων τρεψάμενος· ἐφ' ᾧ καὶ αὐτοκράτωρ (8) ὑπὸ τῶν στρατιωτῶν ἀνηγορεύθη. Καιλίου δὲ τοῦ ῥήτορος (9) δεομένου παρδάλεις αὐτῷ πρός τινα θέαν εἰς Ῥώμην ἐκ Κιλικίας ἀποστεῖλαι, καλλωπιζόμενος ἐπὶ τοῖς πεπραγμένοις γράφει πρὸς αὐτὸν οὐκ εἶναι παρδάλεις ἐν Κιλικίᾳ· πεφευγέναι γὰρ εἰς Καρίαν ἀγανακτούσας, ὅτι μόναι πολεμοῦνται, πάντων εἰρήνην ἐχόντων (10).

Πλέων δ' ἀπὸ τῆς ἐπαρχίας, τοῦτο μὲν Ῥόδῳ προσέσχε, τοῦτο δ' Ἀθήναις ἐνδιέτριψεν ἄσμενος πόθῳ τῶν πάλαι διατριβῶν. Ἀνδράσι δὲ τοῖς πρώτοις ἀπὸ παιδείας συγγενόμενος, καὶ τούς τε φίλους καὶ συνήθεις ἀσπασάμενος, καὶ τὰ πρέποντα (11) θαυμασθεὶς ὑπὸ τῆς Ἑλλάδος, εἰς Ῥώμην ἐπανῆλθεν (12), ἤδη τῶν

---

5. *Χαριέντας*. Les personnes de « la société », celles qui ne sont pas du commun. Cf. *Vie de Démosthène*, note 9, p. 336.

6. Cicéron écrit à Atticus (VI, II, 5): « *Cetera jurisdictio nec imperita et clemens cum admirabili facilitate; aditus autem ad me minime provinciales: nihil per cubicularium; ante lucem inambulabam domi, ut olim candidatus.* »

7. Cicéron à Atticus (VI, II, 5): « *Mira erant in civitatibus ipsorum furta Graecorum, quae magistratus sui fecerant. Quaesivi ipse de iis qui annis decem proximis magistratum gesserant; aperte fatebantur: itaque sine ulla ignominia suis humeris pecunias populis rettulerunt.* » — Dans la phrase de Plutarque, il semble bien que plusieurs mots sont tombés: « Quum invenisset multos peculatus per provinciam factos, quum ⟨iis quae surrepta erant⟩ urbes ditavit, tum iis qui ablata redderent, nullo praeterea supplicio affectis, integram famam conservavit. » (Traduction Hutten.)

8. *Αὐτοκράτωρ*, en latin « *imperator* ».

9. M. Caelius Rufus, jeune ami de Cicéron, et lui aussi grand orateur. M. Boissier lui a consacré un chapitre entier (*Caelius: la jeunesse romaine au temps de César*) dans le livre de *Cicéron et ses amis*.

10. Voyez la onzieme lettre du deuxième livre de Cicéron *ad familiares*, datée et adressée ainsi: « *Scr. in provincia pridie Nonas Apriles a. U. C.* 704. M. CICERO IMP. S. D. M. CAELIO AEDILI CUR. », dont voici le passage traduit par Plutarque: « *De pantheris, per eos qui venari solent agitur mandatu meo diligenter; sed mira paucitas est, et eas quae sunt valde aiunt queri, quod nihil cuiquam insidiarum in mea provincia, nisi sibi, fiat: itaque constituisse dicuntur in Cariam ex nostra provincia decedere.* »

11. *Τὰ πρέποντα*. « Expression adverbiale: comme il convenait, comme il le méritait. »

πραγμάτων ὥσπερ ὑπὸ φλεγμονῆς ἀφισταμένων ἐπὶ τὸν ἐμφύλιον πόλεμον(13).

CHAPITRE XXXVII.

Ἐν μὲν οὖν τῇ βουλῇ ψηφιζομένων(1) *αὐτῷ θρίαμβον, ἥδιον ἂν ἔφη παρακολουθῆσαι Καίσαρι θριαμβεύοντι συμβάσεων γενομένων*(2)· *ἰδίᾳ δὲ συνεβούλευσε πολλὰ μὲν Καίσαρι γράφων, πολλὰ δ' αὐτοῦ* (3) *Πομπηΐου δεόμενος, πραΰνων ἑκάτερον καὶ παραμυθούμενος. Ὡς δ' ἦν ἀνήκεστα*(4), *καί, Καίσαρος ἐπερχομένου, Πομπήϊος οὐκ ἔμεινεν, ἀλλὰ μετὰ πολλῶν καὶ ἀγαθῶν ἀνδρῶν τὴν πόλιν ἐξέλιπε, ταύτης μὲν ἀπελείφθη τῆς φυγῆς ὁ Κικέρων, ἔδοξε δὲ Καίσαρι προστίθεσθαι*(5). *Καὶ δῆλός ἐστι τῇ γνώμῃ πολλὰ ῥιπτασθεὶς ἐπ' ἀμφότερα καὶ διστάσας*(6). *Γράφει γὰρ ἐν ταῖς Ἐπιστολαῖς διαπορεῖν, ποτέρωσε χρὴ τραπέσθαι,· Πομπηΐου μὲν ἔνδοξον καὶ καλὴν ὑπόθεσιν πρὸς τὸ πολεμεῖν ἔχοντος, Καίσαρος δ' ἄμεινον τοῖς πράγμασι χρωμένου καὶ μᾶλλον ἑαυτὸν καὶ τοὺς φίλους σώζοντος, ὥστ' ἔχειν μὲν ὃν φύγῃ, μὴ ἔχειν δὲ πρὸς*

---

12. *Εἰς Ῥώμην ἐπανῆλθεν*, le 4 janvier 49.

13. Cicéron (*Ad familiar.*, XVI, XI, 2): «*Sed incidi in ipsam flammam civilis discordiae vel potius belli, cui cum cuperem mederi,*» etc. Plutarque semble avoir compris *flammam* comme s'il y avait *inflammationem*, une tumeur. Coraï, qui fut à la fois helléniste et médecin, explique en ces termes la métaphore ici employée: *Ἡ δὲ μεταφορὰ ἀπὸ τῆς ἰατρικῆς τέχνης· καθ' ἣν τὰ φλεγμήναντα μέρη ἀφίσταται, τουτέστιν ἀνεγείρεται τῆς ἐπιφανείας τοῦ σώματος, καὶ ὄγκους ποιεῖ τοὺς καλουμένους διὰ τοῦτο ἀποστήματα.*

Ch. XXXVII.] 1. *Ψηφιζομένων*, sous-entendu *τῶν βουλευτῶν*, dont l'idée est éveillée par *ἐν τῇ βουλῇ*.

2. *Συμβάσεων γενομένων*. Amyot: «Que plus vouluntiers il suivroit le chariot triumphant de Cæsar, *y ayant un bon accord fait entre eulx,*» c'est-à-dire entre César et Pompée.

3. *Αὐτοῦ*, c'est-à-dire en lui parlant à lui-même (puisque Pompée, lui, était à Rome).

4. Amyot paraphrase ainsi *ὡς δ' ἦν ἀνήκεστα*: «Mais le mal estant si incurable qu'il n'y avoit plus ordre ne moyen de les pouvoir accorder.»

5. Le vrai est que Cicéron ne se trouvait pas alors à Rome, mais en Campanie, région qui lui était échue lorsqu'on avait fait, à l'approche de César, le partage des diverses parties de l'Italie pour les défendre contre lui.

6. *Διστάσας*. Cicéron (*Ad famil.*, VII, III, 1): «*Quo tempore vidisti profecto, me quoque ita conturbatum ut non explicarem quid esset optumum factu.*»

ὃν φύγῃ(7). Τρεβατίου δέ, τινὸς τῶν Καίσαρος ἑταίρων, γράψαντος ἐπιστολήν, ὅτι(8) Καῖσαρ οἴεται δεῖν μάλιστα μὲν αὐτὸν ἐξετάζεσθαι(9) μεθ' αὐτοῦ καὶ τῶν ἐλπίδων μετέχειν, εἰ δ' ἀναδύεται διὰ γῆρας, εἰς τὴν Ἑλλάδα βαδίζειν κἀκεῖ καθήμενον ἡσυχίαν ἄγειν ἐκποδὼν ἀμφοτέροις γενόμενον, θαυμάσας ὁ Κικέρων ὅτι Καῖσαρ αὐτὸς οὐκ ἔγραψεν, ἀπεκρίνατο πρὸς ὀργὴν ὡς οὐδὲν ἀνάξιον πράξει τῶν πεπολιτευμένων. Τὰ μὲν οὖν ἐν ταῖς Ἐπιστολαῖς γεγραμμένα τοιαῦτά ἐστι(10).

CHAPITRE XXXVIII.

Τοῦ δὲ Καίσαρος εἰς Ἰβηρίαν ἀπάραντος(1), εὐθὺς πρὸς Πομπήϊον ἔπλευσε· καὶ τοῖς μὲν ἄλλοις ἀσμένοις ὤφθη, Κάτων δ' αὐτὸν ἰδίᾳ πολλὰ κατεμέμψατο Πομπηΐῳ προσθέμενον· αὑτῷ(2) μὲν γὰρ οὐ καλῶς ἔχειν ἐγκαταλιπεῖν ἣν ἀπ' ἀρχῆς εἵλετο τῆς πολιτείας τάξιν, ἐκεῖνον δὲ χρησιμώτερον ὄντα(3) τῇ πατρίδι καὶ τοῖς φίλοις, εἰ μένων ἴσος ἐκεῖ(4) πρὸς τὸ ἀποβαῖνον ἡρμόζετο, κατ' οὐδένα λογισμὸν οὐδ' ἐξ ἀνάγκης πολέμιον γεγονέναι Καίσαρι καὶ τοσούτου μεθέξοντα κινδύνου δεῦρ' ἥκειν. Οὗτοι δὲ

---

7. Ἔχειν κτλ. « *Ego vero quem fugiam habeo, quem sequar non habeo.* » (Cicér., *Ad Attic.*, VIII, VII, 2.)

8. Ὅτι, *lui disant* que.

9. Ἐξετάζεσθαι μεθ' αὐτοῦ, se ranger avec lui.

10. La correspondance de Cicéron avec C. Trebatius Testa, le célèbre jurisconsulte, remplit le VIIe livre des *Lettres familières*; mais, telle qu'elle nous a été conservée, on n'y trouve point ce que dit ici Plutarque. On trouve seulement quelque chose d'approchant, savoir ce qui suit dans la XVIIe lettre du VIIe livre de Cicéron à Atticus: « *Trebatius quidem scribit se ab illo IX Kal. Febr. rogatum esse ut scriberet ad me, ut essem ad urbem; nihil ei me gratius facere posse . . . Rescripsi ad Trebatium (nam ad ipsum Caesarem, qui mihi nihil scripsisset, nolui), quam illud hoc tempore esset difficile, me tamen in praediis meis esse neque delectum ullum neque negotium suscepisse.* » — D'autre part nous avons encore (*ad Attic.*, X, VIII B) le texte d'une lettre écrite par César lui-même à Cicéron, à la date du 15 des calendes de mai, *ex itinere*, lettre dans laquelle il l'engage à rester neutre, *abesse a civilibus controversiis*, comme il convient *viro bono et quieto et bono civi.*

Ch. XXXVIII.] 1. Ἀπάραντος, vers le milieu d'avril 49. Cicéron partit vers le 10 juin pour la Grèce, où se trouvait alors Pompée.

2. Αὑτῷ, à lui-même, lui, Caton. Ἐκεῖνον, Cicéron.

3. Ὄντα, et plus haut ἔχειν, répondent à l'imparfait du discours direct: d'où le sens de « Il n'*eût* pas *été* honnête de la part de Caton » et « Cicéron *eût été* plus utile. »

4. Ἐκεῖ, à Rome.

τοῦ Κικέρωνος ἀνέστρεφον οἱ λόγοι τὴν γνώμην(5), *καὶ τὸ μέγα μηδὲν αὐτῷ χρῆσθαι Πομπήϊον*(6). *Αἴτιος δ' ἦν αὐτὸς οὐκ ἀρνούμενος μεταμέλεσθαι*(7), *φλαυρίζων δὲ τοῦ Πομπηΐου τὴν παρασκευὴν καὶ πρὸς τὰ βουλεύματα δυσχεραίνων ὑπούλως, καὶ τοῦ παρασκώπτειν τι καὶ λέγειν ἀεὶ χαρίεν εἰς τοὺς συμμάχους οὐκ ἀπεχόμενος*(8), *ἀλλ' αὐτὸς μὲν ἀγέλαστος ἀεὶ περιϊὼν ἐν τῷ στρατοπέδῳ καὶ σκυθρωπός*(9), *ἑτέροις δὲ παρέχων γέλωτα μηδὲν δεομένοις. Βέλτιον δὲ καὶ τούτων ὀλίγα παραθέσθαι.*

Δομιτίου(10) *τοίνυν ἄνθρωπον εἰς τάξιν ἡγεμονικὴν ἄγοντος οὐ πολεμικὸν καὶ λέγοντος ὡς ἐπιεικὴς τὸν τρόπον ἐστὶ καὶ σώφρων, «Τί οὖν» εἶπεν «οὐκ ἐπίτροπον αὐτὸν τοις τέκνοις φυλάσσεις;»*

Ἐπαινούντων δέ τινων Θεοφάνην τὸν Λέσβιον(11), *ὃς ἦν ἐν τῷ στρατοπέδῳ τεκτόνων ἔπαρχος*(12), *ὡς εὖ παραμυθήσαιτο Ῥοδίους τὸν στόλον ἀποβαλόντας*(13), *«Ἡλίκον» εἶπεν «ἀγαθόν ἐστι Γραικὸν ἔχειν ἔπαρχον.»*

Καίσαρος δὲ κατορθοῦντος τὰ πλεῖστα καὶ τρόπον (13) *τινὰ πολιορκοῦντος αὐτούς, Λέντλῳ*(14) *μὲν εἰπόντι πυνθάνεσθαι στυγνοὺς εἶναι τοὺς Καίσαρος φίλους, ἀπεκρίνατο «Λέγεις αὐτοὺς δυσνοεῖν Καίσαρι*(15)*;»*

Μαρκίου δέ τινος ἥκοντος ἐξ Ἰταλίας νεωστὶ καὶ λέγοντος ἐν

---

5. Construisez *τὴν γνώμην τοῦ Κικέρωνος.*

6. *Καὶ τὸ μέγα .... Πομπήϊον.* Amyot: «Avec ce que Pompeius ne se servoit de luy *en* nulle chose de consequence.»

7. *Μεταμέλεσθαι.* Cicéron (*Ad familiar.*, VII, III, 2): «*Cujus me mei facti poenituit, non tam propter periculum meum quam propter vitia multa quae ibi offendi, quo veneram... Nihil boni praeter causam.*» Le mot suivant de lui a été conservé chez Macrobe (*Saturnales*, II, III, 7): «Cum ad Pompeium venisset, dicentibus sero eum venisse respondit: *Minime sero veni, nam nihil hic paratum video.*»

8. *Καὶ τοῦ παρασκώπτειν ... οὐκ ἀπεχόμενος.* Amyot: «Et si ne se pouvoit pas tenir de laisser eschapper tousjours quelque mot de risée et de mocqnerie encontre ceulx de son party.»

9. Cicéron (*IIe Philippique*, XVI, § 39—40): «*Ne jocis quidem respondebo, quibus me in castris usum esse dixisti... Quod autem idem maestitiam meam reprehendit, idem jocum, magno argumento est me in utroque fuisse moderatum.*»

10. «L. Domitius Ænobarbus, que César avait assiégé dans la ville de Corfinium et qu'il avait laissé libre après la prise de cette place.»

11. Théophane de Mytilène, historien ami de Pompée (voy., sur lui, Cicéron, *Pro Archia*, X, § 24).

12. *Τεκτόνων ἔπαρχος.* Voy. la fin de la note 7 du ch. XXXII.

13. «Une tempête avait détruit les navires des Rhodiens, envoyés par ordre de Pompée contre César, pour protéger Dyrrachium.»

14. L. Cornelius Lentulus Crus, consul de cette année.

15. Où est le piquant de ce mot? Wyttenbach croit qu'il faut lire *σύννους* et *συννοεῖν.*

Ῥώμῃ φήμην ἐπικρατεῖν ὡς πολιορκοῖτο Πομπήϊος, « Εἶτ' ἐξέπλευσας » εἶπεν « ἵνα τοῦτο πιστεύσῃς αὐτὸς θεασάμενος; »

Μετὰ δὲ τὴν ἧτταν(16), *Νοννίου μὲν εἰπόντος ὅτι δεῖ χρηστὰς ἐλπίδας ἔχειν, ἑπτὰ γὰρ ἀετοὺς ἐν τῷ στρατοπέδῳ τοῦ Πομπηΐου λελεῖφθαι, « Καλῶς ἂν » ἔφη « παρῄνεις, εἰ κολοιοῖς ἐπολεμοῦμεν. »*

Λαβιηνοῦ δὲ μαντείαις τισὶν ἰσχυριζομένου καὶ λέγοντος ὡς δεῖ περιγενέσθαι Πομπήϊον, « Οὐκοῦν » ἔφη « στρατηγήματι τούτῳ χρώμενοι, νῦν ἀποβεβλήκαμεν τὸ στρατόπεδον(17). »

CHAPITRE XXXIX.

Ἀλλὰ γὰρ γενομένης τῆς κατὰ Φάρσαλον μάχης(1), *ἧς οὐ μετέσχε δι' ἀρρωστίαν, καὶ Πομπηΐου φυγόντος, ὁ μὲν Κάτων, καὶ στράτευμα συχνὸν ἐν Δυρραχίῳ καὶ στόλον ἔχων μέγαν, ἐκεῖνον*(2) *ἠξίου στρατηγεῖν κατὰ νόμον ὡς τῷ τῆς ὑπατείας ἀξιώματι προὔχοντα. Διωθούμενος δὲ τὴν ἀρχὴν ὁ Κικέρων καὶ ὅλως φεύγων τὸ συστρατεύεσθαι, παρ' οὐδὲν ἦλθεν ἀναιρεθῆναι*(3), *Πομπηΐου τοῦ νέου*(4) *καὶ τῶν φίλων προδότην ἀποκαλούντων καὶ τὰ ξίφη σπασαμένων, εἰ μὴ Κάτων ἐνστὰς*(5) *μόλις ἀφείλετο καὶ διῆκεν αὐτὸν ἐκ τοῦ στρατοπέδου.*

Καταχθεὶς δ' εἰς Βρεντέσιον ἐνταῦθα διέτριβε, Καίσαρα προσμένων βραδύνοντα διὰ τὰς ἐν Ἀσίᾳ καὶ περὶ Αἴγυπτον ἀσχολίας. Ἐπεὶ δ' εἰς Τάραντα καθωρμισμένος ἀπηγγέλλετο καὶ πεζῇ περιιὼν ἐκεῖθεν εἰς Βρεντέσιον, ὥρμησε πρὸς αὐτόν, οὐ πάνυ μὲν ὢν δύσελπις, αἰδούμενος δὲ πολλῶν παρόντων ἀνδρὸς ἐχθροῦ καὶ κρατοῦντος λαμβάνειν πεῖραν. Οὐ μὴν ἐδέησεν αὐτῷ πρᾶξαί τι παρ' ἀξίαν ἢ εἰπεῖν(6). *Ὁ γὰρ Καῖσαρ, ὡς εἶδεν αὐτὸν πολὺ πρὸ*

---

16. *Ἧτταν*, la défaite de Pharsale.
17. Il s'agit sans doute de quelque défaite antérieure, — ou bien ce récit manquerait d'authenticité. Car, d'une part, Cicéron n'assista pas à bataille de Pharsale, comme Plutarque va le dire, et, d'autre part, Labienus y périt.

Ch. XXXIX.] 1. Le 9 août 48.
2. *Ἐκεῖνον*, Cicéron.
3. On dirait à peu près de même en français : Il ne tint à rien qu'il ne pérît.
4. Cn. Pompée, le fils aîné du grand Pompée.
5. *Ἐνστάς*. Voy. la note 13 du ch. XXI.
6. Amyot : « Toutefois il ne fut point contrainct (*οὐκ ἐδέησεν αὐτῷ*) de faire ne de dire chose aucune derogante à sa dignité (*παρ' ἀξίαν*). »

τῶν ἄλλων ἀπαντῶντα, κατέβη(7) *καὶ ἠσπάσατο καὶ διαλεγόμενος μόνῳ συχνῶν σταδίων ὁδὸν προῆλθεν.*

Ἐκ δὲ τούτου διετέλει τιμῶν καὶ φιλοφρονούμενος, ὥστε καὶ γράψαντι λόγον ἐγκώμιον(8) *Κάτωνος ἀντιγράφων τόν τε λόγον αὐτοῦ*(9) *καὶ τὸν βίον ὡς μάλιστα τῷ Περικλέους ἐοικότα*(10) *καὶ Θηραμένους ἐπαινεῖν. Ὁ μὲν οὖν Κικέρωνος λόγος* **Κάτων**, *ὁ δὲ Καίσαρος* **Ἀντικάτων** *ἐπιγέγραπται.*

Λέγεται δὲ καί, Κοΐντου Λιγαρίου δίκην φεύγοντος, ὅτι τῶν Καίσαρος πολεμίων εἷς ἐγεγόνει, καὶ Κικέρωνος αὐτῷ βοηθοῦντος(11), *εἰπεῖν τὸν Καίσαρα πρὸς τοὺς φίλους· « Τί κωλύει διὰ χρόνου*(12) *Κικέρωνος ἀκοῦσαι λέγοντος, ἐπεὶ πάλαι γε κέκριται πονηρὸς ἄνθρωπος*(13) *καὶ πολέμιος;» Ἐπεὶ δ' ἀρξάμενος λέγειν ὁ Κικέρων ὑπερφυῶς ἐκίνει*(14), *καὶ προύβαινεν αὐτῷ πάθει τε ποικίλος καὶ χάριτι θαυμαστὸς ὁ λόγος, πολλὰς μὲν ἱέναι*(15) *χρόας ἐπὶ τοῦ προσώπου τὸν Καίσαρα, πάσας δὲ τῆς ψυχῆς τρεπόμενον τροπὰς κατάδηλον εἶναι· τέλος δέ, τῶν κατὰ Φάρσαλον ἁψαμένου τοῦ ῥήτορος ἀγώνων*(16), *ἐκπαθῆ γενόμενον τιναχθῆναι τῷ σώματι καὶ τῆς χειρὸς ἐκβαλεῖν*(17) *ἔνια τῶν γραμματείων. Τὸν δ' οὖν ἄνθρωπον ἀπέλυσε τῆς αἰτίας βεβιασμένος.*

CHAPITRE XL.

Ἐκ τούτου Κικέρων, εἰς μοναρχίαν τῆς πολιτείας μεθεστώσης,

---

7. *Κατέβη*, descendit de cheval.

8. *Λόγος ἐγκώμιος*, éloge. *Λόγος* ici, et de même deux lignes plus bas, veut dire *livre, ouvrage.*

9. *Τὸν λόγον αὐτοῦ*, l'*éloquence* de Cicéron.

10. *Ἐοικότα* se rapporte, grammaticalement, à *τὸν βίον* seulement; mais il faut l'entendre comme s'il y avait *ἐοικότας*, se rapportant et à *τὸν λόγον* et à *τὸν βίον*. — César comparait sans doute la vie de Cicéron à celle de Théramène, son éloquence à celle de Périclès.

11. «Théramène, du temps des trente tyrans à Athènes, était un homme d'Etat de grand mérite, mais taxé de versatilité politique et surnommé pour cela, par les Athéniens, *κόθορνος*, cothurne, chaussure qu'on mettait indifféremment au pied droit ou au pied gauche. Comme on le voit aisément, la comparaison n'était pas sans malice.»

12. *Διὰ χρόνου*, «(Cicéron) qu'il y a longtemps que nous n'ouysmes.» (Amyot.)

13. *Ἄνθρωπος* (= *ὁ ἄνθρωπος*), Ligarius.

14. *Ὑπερφυῶς ἐκίνει*, entendez *τὸν Καίσαρα.*

15. *Ἱέναι* (non *ἰέναι*), de *ἵημι* (non de *εἶμι*).

16. Voy., en effet, dans les œuvres de Cicéron, le discours *Pro Ligario*, IX, § 28, non loin de la fin du plaidoyer.

17. *Ἐκβάλλειν*, laisser tomber.

ἀφέμενος τοῦ τὰ κοινὰ πράττειν, ἐσχόλαζε τοῖς βουλομένοις φιλοσοφεῖν τῶν νέων, καὶ σχεδὸν ἐκ τῆς πρὸς τούτους συνηθείας, εὐγενεστάτους καὶ πρώτους ὄντας, αὖθις ἴσχυσεν ἐν τῇ πόλει μέγιστον.

Αὐτῷ δ' ἔργον μὲν ἦν τότε φιλοσόφους συντελεῖν διαλόγους(1) καὶ μεταφράζειν τοὺς Πλάτωνος(2), καὶ τῶν διαλεκτικῶν ἢ φυσικῶν ὀνομάτων ἕκαστον εἰς τὴν Ῥωμαϊκὴν μεταβάλλειν διάλεκτον· ἐκεῖνος γάρ ἐστιν, ὥς φασιν, ὁ καὶ τὴν φαντασίαν καὶ τὴν ἐποχὴν καὶ τὴν συγκατάθεσιν καὶ τὴν κατάληψιν, ἔτι δὲ τὴν ἄτομον, τὸ κενόν(3), καὶ ἄλλα πολλὰ τῶν τοιούτων ἐξονομάσας πρῶτος ἢ μάλιστα Ῥωμαίοις, τὰ μὲν μεταφοραῖς, τὰ δ' οἰκειότησιν ἄλλαις(4) γνώριμα καὶ προσήγορα μηχανησάμενος(5).

Τῇ δὲ πρὸς τὴν ποίησιν εὐκολίᾳ παίζων ἐχρῆτο. Λέγεται γὰρ ὁπηνίκα ῥυείη πρὸς τὸ τοιοῦτον, τῆς νυκτὸς ἔπη ποιεῖν πεντακόσια.

Τὸν μὲν οὖν πλεῖστον(6) τοῦ χρόνου τούτου περὶ Τοῦσκλον ἐν χωρίοις αὐτοῦ(7) διάγων, ἔγραφε πρὸς τοὺς φίλους Λαέρτου βίον ζῆν(8), εἴτε παίζων, ὡς ἔθος εἶχεν, εἴθ' ὑπὸ φιλοτιμίας σπαργῶν πρὸς τὴν πολιτείαν καὶ ἀδημονῶν τοῖς καθεστῶσι.

Ch. XL.] 1. Les *Académiques* et le *De finibus bonorum et malorum*, par exemple, sont de cette période de la vie de Cicéron. — *Συντελεῖν* ne peut se traduire ici que par *composer*, ce qui n'est pas le sens ordinaire de ce mot.

2. Notamment le *Timée*. Voy., dans les Fragments de Cicéron, les pages qui nous restent de cette traduction, qui a été faite postérieurement à la composition des *Académiques*. Cicéron avait aussi traduit le *Protagoras*; il reste huit ou dix lignes de ce travail, citées par des grammairiens.

3. Il a rendu *φαντασία* par *visum*, *ἐποχή* par *assensionis retentio*, *συγκατάθεσις* par *assensio atque approbatio*, *κατάληψις* par *comprehensio*, *τὰς ἀτόμους* et *τὰ ἀμερῆ* par *corpora individua*, *τὸ κενόν* par *inane*.

4. *Ἡ οἰκειότησιν ἄλλαις*. Hellénisme qui revient à ceci: *ou, autrement, par des termes propres*. Les mots suivants se traduisent mot à mot: *arrangeant les mots* (*μηχανησάμενος*) *reconnaissables* (*γνώριμα*) *et bien reçus* (*προσήγορα*). C'est-à dire: soit en se servant de métaphores, soit en prenant des termes au propre, trouvant pour ces mots grecs des équivalents qui se laissassent entendre et se fissent accepter.

5. Ch. Thurot (*Revue de philologie*, 1877, p. 86): «On sait que les ouvrages de Cicéron sur la rhétorique et la philosophie sont souvent difficiles à entendre, parce que Cicéron a rendu des termes techniques, qui avaient un sens rigoureusement défini chez les rhéteurs et les philosophes grecs, par des équivalents qu'il a tirés du langage ordinaire des Latins, et qui paraissent fort vagues, si l'on ne se reporte pas aux mots grecs qu'il a voulu traduire.»

6. *Τὸν πλεῖστον τοῦ χρόνου*, la plupart du temps.

7. Dans sa propriété de Tusculum (à 5 lieues de Rome).

8. *Λαέρτου βίον ζῆν*. Laërte, père d'Ulysse, vivait dans les champs, loin du palais, qui était livré aux prétendants de Pénélope. Lisez le chant XXIV de l'*Odyssée*, vers 205 et suivants.

Σπάνιον δ' εἰς ἄστυ, θεραπείας ἕνεκα τοῦ Καίσαρος, κατῄει(9), *καὶ πρῶτος ἦν τῶν συναγορευόντων ταῖς τιμαῖς*(10) *καὶ λέγειν ἀεί τι καινὸν εἰς τὸν ἄνδρα καὶ τὰ πραττόμενα φιλοτιμουμένων. Οἷόν ἐστι καὶ τὸ περὶ τῶν Πομπηΐου λεχθὲν εἰκόνων, ἃς ἀνῃρημένας καὶ καταβεβλημένας ὁ Καῖσαρ ἐκέλευσεν ἀνασταθῆναι. Ἔφη γὰρ ὁ Κικέρων ὅτι ταύτῃ τῇ φιλανθρωπίᾳ Καῖσαρ τοὺς μὲν Πομπηΐου ἵστησι, τοὺς δ' αὐτοῦ πήγνυσιν ἀνδριάντας.*

CHAPITRE XLI.

Διανοούμενος δ', ὡς λέγεται, τὴν πάτριον ἱστορίαν γραφῇ περιλαβεῖν καὶ πολλὰ συμμῖξαι τῶν Ἑλληνικῶν καὶ ὅλως τοὺς συνηγμένους λόγους αὐτῷ καὶ μύθους ἐνταῦθα τρέψαι(1), *πολλοῖς μὲν ἰδίοις, πολλοῖς δὲ δημοσίοις κατελήφθη πράγμασιν ἀβουλήτοις καὶ πάθεσιν, ὧν αὐθαίρετα δοκεῖ τὰ πλεῖστα συμβῆναι. Πρῶτον μὲν γὰρ ἀπεπέμψατο τὴν γυναῖκα Τερεντίαν, ἀμεληθεὶς ὑπ' αὐτῆς παρὰ τὸν πόλεμον, ὥστε καὶ τῶν ἀναγκαίων ἐφοδίων ἐνδεὴς ἀποσταλῆναι καὶ μηδ', ὅτε κατῆρεν αὖθις εἰς Ἰταλίαν, τυχεῖν εὐγνώμονος. Αὐτὴ μὲν γὰρ οὐκ ἦλθεν, ἐν Βρεντεσίῳ διατρίβοντος αὐτοῦ πολὺν χρόνον*(2), *ἐρχομένῃ δὲ τῇ θυγατρί, παιδίσκῃ νέᾳ*(3), *τοσαύτην ὁδὸν οὐ πομπὴν πρέπουσαν*(4), *οὐ χορηγίαν παρέσχεν, ἀλλὰ καὶ τὴν οἰκίαν τῷ Κικέρωνι πάντων ἔρημον καὶ κενὴν ἀπέ-*

---

9. Tusculum était bâti sur une colline: la villa de Cicéron était située à mi-côte.

10. *Ταῖς τιμαῖς*, les honneurs (qui étaient décernés à César).

Ch. XLI.] 1. Cicéron fait allusion, au début de son traité *De Legibus*, à ce projet d'écrire l'histoire romaine; mais ce qu'on lit en cet endroit ne s'accorde guère avec l'intention que lui attribue ici Plutarque d'entremêler son récit d'anecdotes et de légendes de toutes sortes. « *Intelligo te, frater, alias in historia leges observandas putare, alias in poëmate* (dit Quintus). — *Quippe quum in illa ad veritatem cuncta referantur, in hoc ad delectationem pleraque* (répond Cicéron). *Quanquam et apud Herodotum patrem historiae, et apud Theopompum sunt innumerabiles fabulae.* » Ces derniers mots auraient-ils été mal compris?

2. *Διατρίβοντος . . . χρόνον.* Ces mots prouvent qu'il s'agit du troisième débarquement de Cicéron à Brindes, c'est-à-dire après Pharsale.

3. *Παιδίσκῃ νέᾳ.* Tullia n'était plus alors (voy. la note précédente) une si jeune enfant que Plutarque veut bien dire, puisqu'elle était déjà veuve d'un premier mari, divorcée d'un second, et remariée en troisièmes noces avec P. Cornelius Lentulus Dolabella. — Tullia était aussi venue au-devant de son père à Brindes, lorsque celui-ci arrivait d'exil. Cette fois-là, il n'avait point séjourné à Brindes. Tullia alors venait de perdre son premier mari; elle avait dix-neuf ans.

4. *Πρέπουσαν* tombe sur *χορηγίαν* aussi bien que sur *πομπήν*.

δειξεν ἐπὶ πολλοῖς ὀφλήμασι καὶ μεγάλοις(5). *Αὗται γάρ εἰσιν αἱ λεγόμεναι τῆς διαστάσεως εὐπρεπέσταται προφάσεις.*

Τῇ δὲ Τερεντίᾳ καὶ ταύτας ἀρνουμένῃ λαμπρὰν ἐποίησε τὴν ἀπολογίαν αὐτὸς ἐκεῖνος μετ' οὐ πολὺν χρόνον γήμας παρθένον(6), *ὡς μὲν ἡ Τερεντία κατεφήμιζεν, ἔρωτι τῆς ὥρας, ὡς δὲ Τίρων ὁ τοῦ Κικέρωνος ἀπελεύθερος γέγραφεν, εὐπορίας ἕνεκεν πρὸς διάλυσιν δανείων. Ἦν γὰρ ἡ παῖς πλουσία σφόδρα, καὶ τὴν οὐσίαν αὐτῆς ὁ Κικέρων ἐν πίστει κληρονόμος ἀπολειφθεὶς*(7) *διεφύλαττεν. Ὀφείλων δὲ πολλὰς μυριάδας*(8) *ὑπὸ τῶν φίλων καὶ οἰκείων ἐπείσθη τὴν παῖδα γῆμαι παρ' ἡλικίαν*(9) *καὶ τοὺς δανειστὰς ἀπαλλάξαι*(10) *τοῖς ἐκείνης χρησάμενος. Ἀντώνιος δέ, τοῦ γάμου μνησθεὶς ἐν ταῖς πρὸς τοὺς Φιλιππικοὺς ἀντιγραφαῖς, ἐκβαλεῖν φησιν αὐτὸν γυναῖκα παρ' ἣν ἐγήρασε, χαριέντως ἅμα τὴν οἰκουρίαν ὡς ἀπράκτου καὶ ἀστρατεύτου παρασκώπτων τοῦ Κικέρωνος*(11).

Γήμαντι δ' αὐτῷ μετ' οὐ πολὺν χρόνον ἡ θυγάτηρ ἀπέθανε(12) *τίκτουσα παρὰ Λέντλῳ· τούτῳ γὰρ ἐγαμήθη μετὰ τὴν Πείσωνος τοῦ προτέρου*(13) *ἀνδρὸς τελευτήν. Καὶ συνῆλθον μὲν ἐπὶ τὴν παραμυθίαν τῷ Κικέρωνι πανταχόθεν οἱ φίλοι*(14)*· βαρέως γὰρ*

---

5. *Ἐπὶ πολλοῖς ὀφλήμασι*, tout en ayant contracté, au nom de Cicéron, de nombreuses dettes.

6. « Une jeune et belle patricienne, Publilia. »

7. D'après la loi *Voconia*, de l'an 169 avant J.-C., le possesseur d'une fortune estimée, lors du dernier cens, à 100 000 as au moins, ne pouvait instituer héritière universelle une femme ou une fille : ainsi un père riche ne pouvait léguer que la moitié seulement de sa fortune à sa propre fille. Pour éluder cette loi, le père de Publilia avait désigné nominativement Cicéron, en lui donnant sa fille en mariage, pour son héritier, mais sous la promesse de celui-ci de restituer cet héritage à Publilia. Un legs de cette nature s'appelle un fidéicommis. *Heres fiduciarius* est le nom que les Romains donnaient à un tel héritier apparent ; c'est cette expression que Plutarque rend par *ἐν πίστει κληρονόμος*.

8. *Πολλὰς μυριάδας*, sous-entendu *δραχμῶν*.

9. *Παρ' ἡλικίαν*, « encore qu'il fust hors d'aage pour elle. » (Amyot.)

10. *Τοὺς δανειστὰς ἀπαλλάξαι*, se débarrasser de ses créanciers.

11. Amyot, en s'écartant de la construction du grec, traduit très fidèlement : « Se mocquant aussi plaisamment en passant (*ἅμα*) de ce qu'il avoit esté homme oiseux (*ἀπράκτου*), qui ne s'estoit jamais party de sa maison (*οἰκουρίαν*) ny n'avoit esté en guerre (*ἀστρατεύτου*) pour faire service à la chose publique » (ces derniers mots ajoutés à l'original).

12. En février 45.

13. Son *précédent* mari (*προτέρου*) était Crassipes, d'avec qui elle divorça. Pison fut son *premier* mari. Tout cet endroit de Plutarque est plein d'erreurs : ainsi ce n'est point chez Lentulus Dolabella, de qui elle avait dû aussi se séparer, mais dans la maison de campagne de son propre père, à Tusculum, qu'elle mourut de suites de couches.

14. La lettre que son vieil ami Sulpicius, le grand jurisconsulte, lui

ἄγαν ἤνεγκε τὸ συμβεβηκός, ὥστε καὶ τὴν γαμηθεῖσαν ἀποπέμπεσθαι δόξασαν ἡσθῆναι(15) *τῇ τελευτῇ τῆς Τουλλίας*(16).

CHAPITRE XLII.

